# DICCIONARIO GRIEGO-ESPAÑOL

III d.C. **Origenes** scriptor ecclesiasticus
Jenkins, C., «Origen on I Corinthians», *JThS* 9, 1908, pp. 231-247. (1.2 – 3.20), «Origen on I Corinthians. II», *JThS* 9, 1908, pp.353-372, (3.21 – 6.20) «Origen on I Corinthians. III», *JThS* 9, 1908, pp.500-514 (7.1 – 9.24) «Origen on I Corinthians.IV», *JThS* 10, 1909, pp.29-51 (10.5 – 16.14).

*Comm.in 1Cor. = Fragmenta ex commentariis in 1Ep.Cor.*

Jenkins 1908.pdf

© Juan Rodriguez Somolinos, PabloA. García Pastor, 2006 PERIODICALS ARCHIVE ONLINE

# *DOCUMENTS*

## ORIGEN ON I CORINTHIANS.

IN a former number (*J. T. S.* vol. vi pp. 113–116) I gave reason for thinking that the *laches* of Cramer's 'scriba Parisiensis' in dealing with the MS Cois. gr. 204 for the catena on Ephesians had extended also to the transcription of another Paris MS gr. 227 for the catena on 1 Corinthians. It was pointed out that no fewer than fifteen passages assigned by Cramer to Origen were correctly assigned in the MS itself to Chrysostom, and that (apart from very numerous blunders in the text) in cases where readings are definitely cited at the foot of the page those citations are so often entirely erroneous as to render re-collation imperative.

The kindness of the Trustees of the New Testament Revision Surplus Fund has enabled this fresh collation to be made from photographs of the hitherto unpublished Vatican MS gr. 762 (saec. xi) of which the sixteenth-century Paris MS is apparently a copy. The result which is printed below, if it does not yield any new material to compensate for the loss of the fifteen passages wrongly referred to Origen, may at any rate, it is hoped, contribute something towards a more satisfactory text of the remainder. Additional interest will, however, be lent to the new recension by the inclusion of some thirty unpublished fragments (extending from two or three words to a good many lines) contained in an Athos catena (MS Pantocrator. 28). A transcription of these passages, which are all on the later portions of the Epistle where the Vatican MS for a time ceases to quote Origen, has generously been placed at my disposal by Prof. Kirsopp Lake of Leiden. Grateful acknowledgement is also due to Dr Swete, the Dean of Westminster, and Prof. A. Nairne for suggestions and emendations of the text, and especially to Mr C. H. Turner, who has read the whole with unfailing kindness and encouragement.

The form given to the text follows in the main that adopted in Mr J. A. F. Gregg's new edition of Origen's commentary on Ephesians already printed in the third volume of this JOURNAL. A new chapter-division has been marked, as a rule, whenever the catenist mentions the name of Origen, i.e. at the beginning of each quotation or continuous series of quotations. Clarendon type has been used for the words commented upon and uncial type for other Biblical citations or allusions. References to other works of Origen are given, where possible, to the volumes of the new Berlin edition. The pages of Cramer are added in the margin where the passage forms part of his printed text of the catena.

## § I.

1 Cor. i 2 [τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσιν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ αὐτῶν καὶ ἡμῶν.]

[Ὠριγένους]

7 Εἰ *πάντες ἦσαν ἐκκλησία, τίς ἔτι χρεία προ⟨σ⟩κεῖσθαι* σὺν πᾶσι τοῖς ἐπικαλουμένοις; *εἰ πάντες ὁμοίως ἐπεκαλοῦντο, τίς χρεία μὴ* πᾶσιν ἐπικαλουμένοις *γεγράφθαι μόνον ἀλλὰ πέρ⟨α⟩ αὐτῶν* τῇ ἐκκλησίᾳ τοῦ θεοῦ; *παρεστήσαμεν ὡς μόνους τοὺς ἐπαινετοὺς χρηματίζειν* ἐκκλησίαν *ὀφείλοντας, τοὺς δὲ ψεκτοὺς οὐκ ἀποστάτας μὲν ἔτι παλαίοντας τῇ ἁμαρτίᾳ ἀλλ'* ⟨*ἔτι*⟩ ἐπικαλουμένους, *οὐ μὴν ἤδη καὶ* ἐκκλησία⟨ν⟩. *σπεύσωμεν οὖν ἀπὸ τοῦ* ἐπικαλεῖσθαι *εἰς τὸ ἀναβῆναι ἐπὶ* τὴν ἐκκλησίαν *τὴν ἄσπιλον* καὶ ἄμωμον.

## § II.

i 4–10 [Εὐχαριστῶ τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ [Χριστοῦ]. πιστὸς ὁ θεὸς δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.]

[Ὠριγένους]

11 *Οὔτε ταῦτα ἁμαρτωλοῖς ἁρμόζει οὔτε ἐκεῖνα δικαίοις, φημὶ δὴ τὸ* Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἵνα πάντες τὰ αὐτὰ λέγητε καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα *καὶ ὅσα τοιαῦτα. ἦν οὖν ἡ ἐκκλησία ἀναμεμιγμένη, εἴ γε χρὴ ἐκκλησίαν ὀνομάζειν τὸ ὅλον τοῦτο τὸ μικτὸν ἐκ δικαίων καὶ ἀδίκων. πλὴν οἱ συναγόμενοι ἦσαν ἀναμεμιγμένοι· διὰ τοῦτο μέλλων ὁ ἀπόστολος ἐπὶ ταῖς ἁμαρτίαις τοὺς συναγομένους μετὰ κακίας ἐλέγχειν, ἀναγκαί⟨ως⟩ πρῶτον τοὺς ἐπαίνους ποιεῖται τῶν καλῶς* συνερχομένων

I 8. Eph. v 27 (cf. 1 Pet. i 19)  II 8. 1 Cor. xi 20

I 1–7. With this passage should be compared Origen's reference, *Hom.* xvii *in Luc.* (de la Rue iii 953), 'Memini cum interpretarer illud quod ad Corinthios scribitur *Ecclesiae Dei quae est Corinthi cum omnibus qui inuocant eum* dixisse me diuersitatem *ecclesiae* et *eorum qui inuocant nomen Domini*'. Cf. also *in Evang. Ioh.* VI lix 302 (ed. Preuschen).

I 2. *προσκεῖσθαι* : *προκεῖσθαι* MS  3. *ἡ* MS* : *om.* MS  4. *πέρα* scripsi : *πρὸ* Turner : *περὶ* MS  5–6. *τοὺς δὲ ψεκτοὺς* ⟨*τοὺς*⟩ Swete  6. *παλαίοντας* scripsi : *πάλαι ὄντας* MS | *οὐκ ἀποστάτας μὲν ἔτι παλ. τῇ ἁμ. ἀλλ'* ⟨*ἔτι*⟩ *ἐπικ., οὐ μὴν* [cf. *μὲν . . . οὐ μήν* Plato Philebus 12 D] A. Nairne *ἀλλ' ἔτι . . . τῇ ἁμαρτίᾳ ἐπικαλουμένους* Swete, Turner : *ἔτι . . . τῇ ἁμαρτίᾳ ἀλλ' ἐπικαλ.* MS  8. *ἐκκλησίαν* : *ἐκκλησία* MS
II 8. *ἀναγκαίως* : *ἀναγκαῖον* MS

ἐπὶ τὸ αὐτό. **Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε·** ἄξιον εὐχαριστεῖν ἐφ' οἷς λέγει ἐπαινετοῖς, καὶ οὐ ποτὲ μὲν εὐχαριστεῖν ποτὲ δὲ μή, ἀλλὰ **πάντοτε** εὐχαριστεῖν. ἐάν τινα ἴδω ποτὲ μὲν εὖ πράττοντα ποτὲ δὲ ἁμαρτάνοντα, **εὐχαριστῶ** περὶ αὐτοῦ οὐ **πάντοτε**, ἀλλ' ὅτε εὖ ποιεῖ· οὕτω καὶ περὶ ἐμαυτοῦ. ἐν τίνι δὲ εὐχαριστήσει ὁ εὐχαριστῶν Παῦλος; ἐπὶ τοῖς ἰδίοις ἀκροαταῖς ὧν γέγονε κατὰ θεὸν πατήρ. ὥσπερ οὖν πατὴρ ἐπὶ υἱοῖς εὐχαριστεῖ ὅτ' ἂν ὑγιαίνωσιν, ὅτ' ἂν εὖ πράττωσι, τὸν αὐτὸν τρόπον ὅτ' ἂν βλέπῃ διδάσκαλος τοὺς ἀκροατὰς ζέοντας τῷ πνεύματι, **πλουτοῦντας** λόγῳ σοφία⟨ς⟩, ἀξίους τοῦ ἐπαινεῖσθαι, **εὐχαριστεῖ πάντοτε** περὶ αὐτῶν.

Ἴδωμεν οὖν τὴν **χάριν** τῶν ἐπαινετῶν ἐν Κορίνθῳ ἵνα ζηλώσωμεν. **Ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ.** μακάριοι οἱ **ἐν παντὶ πλουτοῦντες** καὶ μηδενὸς τῶν κατὰ θεὸν ὑστερούμενοι, ἀλλὰ πᾶσαν ἐπιτηδεύοντες ἀρετὴν καὶ τῶν παρ' αὐτοῦ ἀφθόνως καὶ πλουσίως ἀπολαύοντες δωρεῶν **ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει·** ὥστε εἰς μηδεμίαν γραφὴν ἀπορεῖν ἀλλὰ πανταχοῦ ζητεῖν καὶ εὑρίσκειν, καὶ ὅτε δεῖ ἐξηγήσασθαι γραφὴν **παντὶ λόγῳ** κεχρῆσθαι τῷ τε διεξοδικῷ καλουμένῳ καὶ τῷ κατὰ ἐρώτησίν τε καὶ ἀπόκρισιν, καὶ παρεσκευάσθαι λέγειν καὶ κατὰ πάσης αἱρέσεως, καὶ τῷ τῆς ἀληθείας συνίστασθαι δόγματι, καὶ ἀναπληρῶσαι τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου Ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ ἀπαιτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν πίστεως. οὕτω δὴ καὶ τὸ **ἐν πάσῃ γνώσει·** οὐ μόνον κατὰ τὰς γραφάς, ἀλλ' ἵνα καὶ εἴπῃ· Αὐτὸς γάρ μοι ἔδωκεν τῶν ὄντων τὴν γνῶσιν ἀψευδῆ καὶ τὰ τούτοις ἀκόλουθα. ὅτι ἡ **γνῶσις** τὸ εἰδέναι μόνον ἐμφαίνει, ὁ δὲ **λόγος** καὶ τὸ ἐγνωσμένον ἑρμηνεύει.

**καθὼς τὸ μαρτύριον τοῦ χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν·** ὁ Χριστός, ἵν' οὕτως ὀνομάσω, ἀρχίμαρτύς ἐστι, καὶ πολλῶν ὄντων μαρτύρων εἰς Χριστὸν διὰ τοῦ θανάτου αὐτῶν ἐκεῖνος ὁ ἄρχων ἐστὶ τῶν μαρτύρων. τοῦτο μὲν **τὸ μαρτύριον χριστοῦ** παρ' οἷς μὲν βέβαιόν ἐστι, παρ' οἷς δὲ οὐκ ἔστι βέβαιον ἀλλὰ σείεται. εἰ μὲν γὰρ ἡ πίστις τοιαύτη ἐστὶν ἡ περὶ τοῦ μαρτυρίου ὥστε δύνασθαι ἀπὸ διαθέσεως ἀληθοῦς εἰπεῖν Πέπεισμαι δὲ ὅτι οὔτε θάνατος οὔτε ζωὴ καὶ τὰ ἑξῆς δυνήσεται ἡμᾶς χωρίσαι τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, **βέβαιόν** ἐστι τὸ μαρτύριον ἐν τῷ τοιούτῳ· εἰ δὲ μὴ τοιοῦτοί ἐσμεν ἀλλὰ σειόμεθα ὑπὸ τῶν συμβαινόντων, οὔπω τὸ μαρτύριον τοῦ Χριστοῦ **ἐβεβαιώθη ἐν** ἡμῖν. καὶ πάλιν ἄλλως ἐκληψόμεθα τὸ ῥητόν· πᾶσα γραφὴ ἡ μαρτυροῦσα περὶ Χριστοῦ **μαρτύριόν** ἐστι **Χριστοῦ**· καλὸν οὖν ἐστὶ **βεβαιωθῆναι** καὶ ἐν τῷ ἀπὸ τῶν γραφῶν **μαρτυρίῳ Χριστοῦ**. καὶ ἄλλως· ἴδε **τὸ μαρτύριον Χριστοῦ**, συνεπιμαρτυροῦντος αὐτῷ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ πνεύματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν· καὶ **βέβαιόν** ἐστι **τὸ μαρτύριον Χριστοῦ** ἐν τοῖς ἁγίοις.

**ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι·** ὡς πολλῶν ὄντων τῶν χαρισμάτων διαλέγεται καὶ ἐν τοῖς ἑξῆς τῆς ἐπιστολῆς.

16. Rom. xii 11 22. Matt. vii 7; Lc. xi 9 26. 1 Pet. iii 15 28. Sap. Sol. vii 17 36. Rom. viii 38–39 43. Heb. ii 4 46. Cf. 1 Cor. xii 4

II 23 For διεξοδικῷ, cf. note on Eph. iv 17 (*J. T. S.* iii 416).

16 λόγῳ· σοφία· MS (cf. 1 Cor. ii 1) 42. ἄλλος εἶδε Turner: καὶ ἄλλως· ἴδε MS (cf. § III 2)

**ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·** ὁ δίκαιος οὐκ ἐν τῷ αἰῶνι τούτῳ ἔχει τὰς ἐλπίδας, ἀλλὰ πάσχων, κινδυνεύων, **ἀπεκδέχεται τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,** ἤτοι ἣν Χριστὸς Ἰησοῦς ἀποκαλύπτει.

**Ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους·** τίς βεβαιοῖ; Χριστὸς Ἰησοῦς,
13 ὁ λόγος, ἡ σοφία· **μαρτύριον δὲ τὸ βεβαιούμενον** οὐ πρὸς ἡμέρας, **ἀλλ' ἕως τέλους.**
**ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.** ἕως ἔλθωμεν ἐκεῖ, οὔπω ἔχομεν τὸ ἀνέγκλητον· οὐ γὰρ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα, κἂν ἔχειν τις δοκῇ ἐπὶ τοῦ παρόντος τὸ ἀνέγκλητον, **ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.**

## § III.

i 9 [**Πιστὸς ὁ θεὸς δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.**]

[Ὠριγένους]

**Πίστευε** αὐτῷ ἀεί· **ἐκλήθητε** γὰρ ἵνα ἁπλῶς ὑπὸ τὸν Ἰησοῦν ὦμεν. μέγα ἐστὶν ὃ χαρίζεται ὁ θεὸς τοῖς ἁγίοις· ἐκλήθημεν **εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ·** διὸ κληρονόμοι μὲν θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ.

## § IV.

i 10 [**καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα.**]

[Ὠριγένους]

14 Ὁ ἐν ἅπασι τῷ ὀρθῷ λόγῳ καὶ τῷ ἐκκλησιαστικῷ δόγματι περί τε πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος συμφωνῶν, ἔτι δὲ περὶ τῆς καθ' ἡμᾶς οἰκονομίας, περί τε ἀναστάσεως καὶ κρίσεως, καὶ τοῖς κανόσι δὲ τοῖς ἐκκλησιαστικοῖς ἑπόμενος, οὐκ ἔστιν ἐν σχίσματι.

## § V.

i 14, 17 [**Εὐχαριστῶ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα . . . οὐ γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν ἀλλ' εὐαγγελίζεσθαι οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ χριστοῦ.**]

[Ὠριγένους]

16 17 **Μεῖζον** τὸ **εὐαγγελίζεσθαι** τοῦ **βαπτίζειν·** καὶ ἐπειδὴ ᾔδει ὁ Παῦλος ἀφωρισμένους τινὰς πρὸς τὸ βαπτίζειν, εὐχαριστεῖ ἐπὶ τ⟨ῷ⟩ κρείττονα κλῆρον ἔχειν τοῦ **βαπτίζειν.** ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων φαίνεται τίνα τῶν ἀποστόλων ἔργα· οἷον Φίλιππος ἐβάπτιζεν, τὸ πνεῦμα δὲ οὐ διηκονεῖτο Φίλιππος τῷ βαπτιζομένῳ, ἀλλὰ τοὺς ὑπ' ἐκείνου βαπτιζομένους ἐχειροθέτει ὁ Πέτρος καὶ τὸ πνεῦμα ἐπήρχετο ἐπ' αὐτούς· καὶ ὁ μὲν Φίλιππος τοὺς ἀναγεννωμένους ἐξ ὕδατος καὶ πνεύματος ἁγίου ἐβάπτιζεν ὕδατι, ὁ δὲ Πέτρος τῷ πνεύματι.

II 52. Io. i 1 ; 1 Cor. i 24 54. Prov. xxvii 1 III 4. Rom. viii 17
IV 4. Hebr. vi 2 V 5 ff. Act. viii 12–16 7. Io. iii 5

III 2. πίστευε MS (cf. § II 42) : πιστεύετε Turner V 3. τό MS 4. φαίνεταί τινα MS

[Ὠριγένους]

*Χρεία οὐ τοσοῦτον λόγου ὅσον δυνάμεως· διὸ γέγραπται* κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ. **ἀπέστειλεν οὖν με Χριστὸς οὐ βαπτίζειν ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου,** *οὐκ ἐν τρανώσει λέξεως· ἐὰν γὰρ τοῦτο ποιῶ καὶ θέλω οὕτω παραδιδόναι τὸν λόγον, ἡ τοῦ χριστοῦ* **δύναμις** *οὐ καθικνεῖται τῆς ψυχῆς τῶν ἀκουόντων καὶ* **ἐκκενῶ** *καὶ καθαιρῶ τὴν χάριν τῆς δυνάμεως.*

§ VI.

i 18 [**ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστίν.**]

[Ὠριγένους]

*Τὸ ὄνομα τοῦ ⟨σταυροῦ⟩ δοκεῖ* **σκάνδαλον εἶναι·** *ἀλλ' ἐάν τις παρέχῃ τὰς ἀκοὰς τῷ λόγῳ τοῦ θεοῦ καὶ τῇ χάριτι, ὄψεται καὶ* τοῦτο μέγα μυστήριον. *καὶ οἱ ἐθνικοὶ παραδεδώκασιν ὅτι πολλάκις, λοιμῶν μεγάλων γενομένων ἢ ἐπομβριῶν ἢ αὐχμῶν, ταῦτα ἐπαύσατο ἀνθρώπου ἑαυτὸν παραδόντος ὑπὲρ τοῦ κοινοῦ· τί οὖν θαυμαστὸν εἰ, ὅλου τοῦ κόσμου λοιμώττοντος τῇ πλάνῃ, ὑπὲρ τοῦ λοιμοῦ τοῦ ἀληθινοῦ ἐχρῆν* ἕνα ἀποθανεῖν *ὑπὲρ τοῦ καταλῦσαι τὸν τῆς ἀγνοίας καὶ τοῦ σκότους καὶ τῆς ἀπωλείας λοιμόν; τίς δὲ ἠδύνατο τοῦτο ἀναδέξασθαι; οὐ προφήτης, οὐκ ἀπόστολος, οὐδέ τις ἄλλος δίκαιος· ἀλλ' ἔδει ἐξ οὐρανοῦ καταβῆναι θείαν δύναμιν δυναμένην ἀναδέξασθαι* ὑπὲρ πάντων ἀποθανεῖν *μετά τινος παραδειγματισμοῦ, ἵνα δι' ἐκείνου τοῦ θανάτου τρόπαιον γένηται κατὰ τοῦ διαβόλου. καὶ γὰρ εἰώθασιν ⟨οἱ⟩ ἐν κόσμῳ θριαμβεύοντες τοὺς πολεμ⟨ί⟩ους ἐν τρόπῳ σταυροῦ τιθέναι τὰ τρόπαια κατὰ τῶν νικωμένων. ἔστιν οὖν ὁ σταυρὸς τοῦ χριστοῦ τρόπαιον κατὰ τοῦ Σατανᾶ· διὰ τοῦτο λέγ⟨ει⟩* Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ, *τῷ ἐγνωκότι τὴν δύναμιν τοῦ σταυροῦ τί⟨ς⟩ ἐστιν· ὅτι ἠλευθερώθην ἀπὸ τῶν κακῶν δι' ἐκεῖνον ἀποθανόντα ἵνα με ῥύσηται ἀπὸ τοῦ θανάτου·* εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ· *μέγα ἀγαθὸν ὅτι* ἐμοὶ κόσμος ἐσταύρωται· *τοῦτο τὸ ἀγαθὸν διὰ τίνος μοι γέγονεν;* διὰ *τοῦ σταυροῦ τοῦ χριστοῦ. μέγα μοι ἀγαθὸν τὸ ἐμὲ* σταυρωθῆναι τῷ κόσμῳ· *εἰ γὰρ ἀπέθανον τῷ κόσμῳ, ἐσταύρωμαι* τῷ κόσμῳ *μετὰ τοῦ χριστοῦ· εἰ δὲ ζῶ ταῖς ἁμαρτίαις, οὔπω ἠξιώθην τοῦ ἀγαθοῦ τοῦ κατὰ τὸν σταυρόν. ἅμα δὲ καὶ ἑτοιμαζώμεθα πρὸς πειρασμούς, πρὸς μαρτύρια, εἰδότες ὅτι ὃς ἂν ἀρνήσηται σωτηρίαν οὐκ ἔχει.*

10–11. Ps. lxvii (lxviii) 12–13  VI 2. Cf. i 23  Eph. v 32  7. Io. xviii 14  9. Cf. Io. iii 13  10. 2 Cor. v 15  15, 17–18. Gal. vi 14  16. Cf. Rom. vi 22  17. Cf. 2 Cor. i 10

VI 2. *σταυροῦ* : *χριστοῦ* MS  6. *πλάνῃ ὑπὲρ . . . ἀληθινοῦ, ἐχρῆν* MS | *λοιμοῦ* MS : leg. fortasse *κοινοῦ*  12. *οἱ* : *om.* MS  13. *πολεμίους* : *πολέμους* MS *τρόπῳ* : *τροπαίῳ* MS  14. *λέγει* : *λέγω* MS  16. *τίς* : *τί* MS

## § VII.

i 19–21 [*γέγραπται γὰρ* Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ **συνζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ** ἐμώρανεν **ὁ θεὸς** τὴν σοφίαν **τοῦ κόσμου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.**]

[*Ὠριγένους*]

23 24 *Οὐ ταυτόν ἐστιν εἶναι σοφὸν καὶ ἐν τῷ αἰῶνι τούτῳ εἶναι σοφόν· τὸ μὲν γὰρ χωρὶς τοιαύτης προσθήκης περιέχει τὴν ἀληθῆ σοφίαν. παραπλησίως δὲ νοήσεις καὶ* **μωρίαν·** *οὐ ταυτόν ἐστι μωρὸν καὶ μωρὸν ἐν τῷ αἰῶνι τούτῳ· ὁ μὲν γὰρ χωρὶς προσθήκης τῆς 'τῷ αἰῶνι τούτῳ' ἀληθ⟨ῶ⟩ς ἐστι μωρός. καὶ ἡμεῖς τοίνυν* **οἱ πιστεύοντες** *τοῖς λόγοις τῆς σοφίας κελευόμεθα ἐν τῷ αἰῶνι τούτῳ γενέσθαι* **μωροί·** *τοιοῦτοι γὰρ δοκοῦμεν εἶναι τοῖς ἀνθρώποις* **πιστεύοντες** *εἰς* **Χριστὸν** *Ἰησοῦν* **ἐσταυρωμένον,** *καὶ πιστεύοντες ἀνάστασιν σωμάτων, πιστεύοντες δὲ ὅτι ζησόμεθα οὐ μόνον οἱ νῦν ὄντες ἐπὶ γῆς ὕστερον ἐν οὐρανοῖς ἀλλ' ὅτι καὶ ἂν ἁμαρτάνωμεν πυρὶ αἰωνίῳ παραδοθησόμεθα. τοιούτους ἡμᾶς δοκεῖν* **εἶναι** *τοῖς ἀνθρώποις. . . .*

## § VIII.

i 23–31 [**ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον ἔθνεσιν δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησιν, Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν. . . . Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς. ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά, καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ. ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἵνα καθὼς γέγραπται** ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω.]

[*Ὠριγένους*]

30 **Δύναμιν** *ἐλάβομεν ἀπὸ τοῦ πιστεύειν εἰς Ἰησοῦν* **Χριστὸν ἐσταυρωμένον·** *καὶ ὅσον λείπομεν ἐν τῇ πίστει ⟨ταύτῃ⟩, τοσοῦτον λειπόμεθα ἐν τῇ δυνάμει τοῦ ἔχειν ἐν ἑαυτοῖς τὰ ἀπὸ τοῦ θεοῦ. εἰ δὲ θέλετε νοῆσαι τί ἐστιν* **ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω,** *νοήσατέ μοι πάνυ γενναῖον ἐν τοῖς*
31 *αἱρετικοῖς λόγοις, φέρε εἰπεῖν Μαρκίωνα ἢ Βασιλείδην, καὶ οὕτω μετὰ δυνάμεως* **ζητοῦντα** *ὑπὲρ τῶν αἱρετικῶν λόγων ὥστε μὴ τὸν τυχόντα δύνασθαι αὐτῷ*

VII 7, 12. Cf. i 23, and esp. III 18, and see *c. Cels.* i 19

VII On the argument of this passage see further *Contra Celsum* iii 47, 48 (ed. Koetschau).

VII 3. *περιέχει* : *οὐ περιέχει* MS 5. *ἀληθῶς* : *ἀληθής* MS 8. ⟨*εἰς*⟩ *ἀνάστασιν* Armitage Robinson 9. fortasse *οὐ μόνον ζησόμεθα* 11. desunt 5½ lin. ad calcem fol. VIII 3. lacuna 5 litt. post *πίστει* MS : *ταύτῃ* suppleui

ἀντιστῆναι· εἶτα νοήσατέ τινα ἱκανὸν κατὰ τὴν ἀλήθειαν λέγοντα ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, καὶ δεικνύντα πάντα ἐκεῖνα μωρίαν ἐφ' οἷς ἐπεποίθει ὁ ἠπατημένος. ἐκείνων οὖν τὴν σοφίαν ἀπόλλυσιν, οὐ τῶν ὄντως σοφῶν, Ἠσαΐου, Ἱερεμίου ἢ Σολομῶντος· τὴν δοκοῦσαν ἀπόλλυσι σοφίαν, οὐ τὴν ἀληθῆ.

Πῶς δὲ καὶ **Ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν**; ἡ σοφία τοῦ θεοῦ ἐν νόμῳ καὶ προφήταις ἐστίν· **ὁ κόσμος οὐκ ἔγνω** ἐν νόμῳ καὶ προφήταις κηρυσσόμενον τὸν Χριστόν. διὰ τοῦτο ἐπὶ συντελείᾳ τῶν αἰώνων ἔπεμψεν Ἰησοῦν Χριστὸν σταυρωθησόμενον ὑπὲρ ⟨τοῦ⟩ γένους τῶν ἀνθρώπων, ἵνα **τῇ μωρίᾳ τοῦ κηρύγματος** πιστεύσωσιν οἱ πιστεύσαντες εἰς Ἰησοῦν Χριστὸν ἐσταυρωμένον.

Προσέθηκε δὲ τ⟨ῷ⟩ **Οὐ πολλοὶ σοφοὶ** τὸ **κατὰ σάρκα**, εἰδὼς ὅτι τῶν σοφῶν εἰσὶ διαφοραί, καὶ οἱ μέν εἰσι **σοφοὶ κατὰ σάρκα** οἱ δὲ κατὰ πνεῦμα· καὶ **κατὰ σάρκα εἰσὶ σοφοὶ** οἱ λεξείδια μόνα μεμελετηκότες καὶ καλλωπίζοντες ὅ τι ποτ' οὖν ὡς ἀλήθειαν οὐκ ὂν ἀλήθειαν. ὅμως δὲ καὶ οὐδὲ οὕτως ἀπέκλεισε τοὺς **κατὰ σάρκα σοφοὺς** ἀπὸ τῆς πίστεως· οὐ γὰρ εἶπεν Οὐδεὶς **σοφὸς κατὰ σάρκα** προσέρχεται τῷ λόγῳ, ἀλλ' ὅτι σφόδρα ὀλίγοι. **δυνατοὶ δὲ** κατὰ σάρκα εἰσὶν οἱ τὰς ἐξουσίας ἔχοντες· κατὰ πνεῦμα δὲ νοήσεις, ἐὰν ἴδῃς τὸν Σωτῆρα τίνα τρόπον οὐκ ἦν μὲν δυνατὸς κατὰ σάρκα· προεδόθη γοῦν καὶ ἐσταυρώθη ἐξ ἀσθενείας· ἦν δὲ δυνατὸς κατὰ πνεῦμα, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ θεραπεύων. οὕτω τὰ κατὰ τοὺς ἀποστόλους ὅρα, τίνα τρόπον ἦσαν δυνατοὶ κατὰ πνεῦμα. ἔστιν δυνατὸς κατὰ πνεῦμα καὶ ὁ κατὰ τὸ πνεῦμα βιοὺς καὶ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατῶν. ὁμοίως καὶ ἐπὶ τῶν εὐγενῶν νοήσεις· **εὐγενεῖς κατὰ σάρκα** εἰσὶν οἱ ἐκ πατέρων πλουσίων καὶ ἐνδόξων· κατὰ δὲ πνεῦμα εὐγενεῖς εἰσὶν οἱ υἱοὶ τοῦ θεοῦ περὶ ὧν γέγραπται Ὅσοι δὲ ἔλαβον αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι.

**Τίνα οὖν ἐξελέξατο ὁ θεός**; οὐχ ἁπλῶς **τὰ μωρά**, ἀλλὰ μετὰ προσθήκης τῆς **τοῦ κόσμου**· ἡμεῖς οἱ πιστεύοντες μωροί ἐσμεν ὡς πρὸς τὸν κόσμον. γελῶσιν οὖν ἡμᾶς μωροὺς λέγοντες 'Χριστιανοὶ λέγουσιν ἀνάστασιν νεκρῶν καὶ ὅτι ζῶμεν μετὰ θάνατον καὶ ὅτι Ἰησοῦς ὃν ἐσταύρωσαν Ἰουδαῖοι ἐκ παρθένου γεγέννηται,' καὶ ὅσα τοιαῦτα. ἐκεῖνοι οὖν γελασάτωσαν ἡμᾶς καὶ μωροὺς λεγέτωσαν· ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστίν.

**τὰ μωρὰ οὖν τοῦ κόσμου ἐξελέξατο ὁ θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς.** οὐχ ἁπλῶς **τοὺς σοφούς**, ἀλλὰ κατὰ κοινοῦ **τοῦ κόσμου**· ἵνα εἴπῃ **τὰ τοῦ κόσμου μωρὰ ἐξελέξατο ὁ θεός, ἵνα καταισχύνῃ τοὺς σοφοὺς** τοῦ κόσμου· ἀληθῶς γὰρ **καταισχύνονται** οἱ σοφοὶ τοῦ κόσμου, ὅταν αὐτοὶ μὲν προσκυνῶσιν **εἰδώλοις** οἱ δὲ ἀγράμματοι καὶ ἰδιῶται ἀποθνήσκωσιν ὑπὲρ τοῦ μὴ εἰδωλολατρῆσαι.

VIII 8. 2 Cor. iii 6 15. Heb. ix 26 26. 2 Cor. xiii 4 27. Matt. iv 23 29–31. Rom. viii 13 31–2. Rom. viii 14 32. Io. i 12 39. 1 Cor. ii 14 45. Act. iv 13

16. ὑπὲρ·γένους MS 19. τὸ MS

**Καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεός·** *πάλιν ἐνταῦθα μετὰ προσθήκης τῆς* **τοῦ κόσμου.** *τί γὰρ εὐγενέστερον ψυχῆς καταλειπούσης τὰ εἴδωλα καὶ λεγούσης* Ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα *καὶ οὐκ* ἔστιν ἐν *αὐτοῖς* ὑετίζων. **τὰ ἀγενῆ** *οὖν* **τοῦ κόσμου** *εὐγενῆ δὲ τοῦ θεοῦ* **ἐξελέξατο ὁ θεός·** *μόνον κατορθώσ⟨ω⟩μεν ἐξ ο⟨ὗ⟩ θεῷ οὐκ ἐξουδενωθησόμεθα, περὶ οὗ γέγραπται* ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος.

**Καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ·** *τὰ μὴ ὄντα ὠνόμασε* **τὰ μωρὰ τοῦ κόσμου, τὰ ἀσθενῆ, τὰ ἀγενῆ, τὰ ἐξουθενημένα· τὰ ὄντα** *τοὺς εὐγενεῖς* **τοῦ** *κόσμου· ἐν γὰρ τῷ κόσμῳ οὗτοι εἰσί τινές, οὐκ ἐσμεν ἡμεῖς, καταπονούμενοι ὑπὸ πάντων καὶ καταφρονούμενοι.* **τὰ μὴ ὄντα** *νῦν* **ἐξελέξατο ὁ θεός, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυχήσηται πᾶσα** *σὰρξ καὶ εἴπῃ Διὰ τοῦτο ἐξελέχθην ὅτι εὐγενής εἰμι.*

**ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστὲ ἐν** Χριστῷ **Ἰησοῦ, ὃς ἐγενήθη** *σοφία* **ἡμῖν ἀπὸ θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·** *διὰ τοῦτο γὰρ ταῦτα πάντα ἡμῖν ἐστὶ* Χριστός, **ἵνα** *τὸ γεγραμμένον γένηται* **Ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω.** *εἰ γὰρ* **ὁ καυχώμενος** *ἐν σοφίᾳ ὀφείλει καυχᾶσθαι, Χριστὸς δὲ ἡ* **σοφία**, *δῆλον ὅτι* **ὁ καυχώμενος** *ἐν Χριστῷ καυχᾶται· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως,* **ἁγιασμοῦ** *τέ φημι* **καὶ δικαιοσύνης.**

§ IX.

ii 4–7 [**καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πιθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἀλλ' ἐν δυνάμει θεοῦ. σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων. ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν· ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν, εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν.**]

[*Ὠριγένους*]

37 *Ἵνα μὴ εἴποι τις Ἄρ' οὖν, ἐπεὶ τὰς ἀποδείξεις τῆς πίστεως ἐν δυνάμει καὶ ἐν πνεύματι ἔφερεν, οὐκ εἶχεν σοφίαν οὐδεμίαν, ἀλλὰ τοῦτό ἐστι* τὸ μυστήριον τῆς *θεοσεβείας, πιστεῦσαι μόνον, καὶ οὐκ ἐπαγγελία σοφίας ἐν αὐτῷ· ἐπιφέρει καὶ λέγει* **Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων.** *ἄλλο γάρ ἐστιν εἰσαγαγεῖν τινὰς εἰς τὴν πίστιν, ἄλλο τὴν σοφίαν τοῦ θεοῦ ἀποκαλύπτειν. ἀναπτύσσομεν οὖν τὴν σοφίαν τοῦ θεοῦ οὐ τοῖς εἰσαγομένοις οὐδὲ τοῖς ἀρχομένοις οὐδὲ τοῖς μηδέπω ἀπόδειξιν τοῦ ὑγιοῦς βίου δεδωκόσιν· ἀλλ' ὅτ' ἂν* γυμνασάμενος *ὃν δεῖ τρόπον* τὰ αἰσθητήρια πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ

VIII 49. Hier. xvi 19  50. Hier. xiv 22  53. Ps. xiv (xv) 4  IX 3. Cf. 1 Tim. iii 16  4. Cf. Sap. Sol. ii 13  10. Hebr. v 14

VIII 51. *κατορθώσωμεν* Turner, Armitage Robinson : *κατορθώσομεν* MS  *ἐξ οὗ* : *ἐξὸν* MS  55. *οὗτοί εἰσι τινές* MS  56. *οὖν* Turner : *νῦν* MS  IX 4. *ἐπαγγελία* : *ἐπαγγελίας* MS  *σοφίας ἐν αὐτῷ. ἐπεὶ φέρει καὶ λέγει· σοφίαν δὲ* MS

ἐπιτήδειος γένηται καὶ πρὸς τὸ ἀκοῦσαι σοφίαν, τότε λαλοῦμεν σοφίαν ἐν τοῖς 38
τελείοις· σοφίαν δὲ λέγω οὐ τοῦ αἰῶνος τούτου οὐδὲ παραπλησίαν τῆς σοφίας τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου. ἅμα δὲ δεδήλωκεν ὅτι τὰ φερόμενα παρὰ τοῖς ἄλλοις μαθήματα οὐκ ἔστιν ἀνθρώπων κατὰ τὴν ἀρχὴν ἀλλὰ δυνάμεων ἀοράτων τῶν καταργουμένων. καὶ εἴποιμι δ᾽ ἂν ὅτι ποιητικὴ σοφία ἐστὶ τοῦ αἰῶνος τούτου, τάχα δὲ καὶ ἡ ῥητορική· σοφία δὲ καὶ ἡ ἐπαγγελλομένη λέγειν περὶ οὐρανοῦ καὶ γῆς καὶ περὶ διοικήσεως τῶν ὅλων. ἡμεῖς οὖν εἰ σοφίαν λαλοῦμεν καὶ λέγομεν αὐτὴν ἐν τοῖς τελείοις, οὐ τὴν τοῦ αἰῶνος τούτου λέγομεν· οὔτε γὰρ διὰ ποιημάτων ἢ διά τινος τοιαύτης τέχνης.

[Ὠριγένους]

Ἀλλὰ λαλοῦμεν σοφίαν ἐν μυστηρίῳ, ἃ οὐκ ἔγνωσται τοῖς ἄρχουσι τοῦ 39
αἰῶνος τούτου τοῖς ἐνεργοῦσι ΤΗΝ ΣΟΦΙΑΝ ΤΩΝ ΣΟΦΩΝ τοῦ κόσμου τούτου· οὕτω δὲ οὐκ ἔγνωσαν· ἐπεβούλευσαν τῷ σωτῆρι καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ ἐσταύρωσαν αὐτόν· εἰ γὰρ ἔγνωσαν οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. οὐκοῦν ζητητέον καὶ ἐν τῷ λόγῳ σοφίαν, ἀλλὰ μετὰ τὴν πίστιν, μετὰ τὴν πολιτείαν, κατὰ τὸ γεγραμμένον Ἐπεθύμησας σοφίαν, διατήρησον ἐντολάς.

## § X.

ii 9–11 [Ἀλλὰ καθὼς γέγραπται Ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψεν διὰ τοῦ πνεύματος, τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτως καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ τὸ πνεῦμα τὸ θεοῦ.]

[Ὠριγένους]

Οἶδεν διαφορὰν ἡ γραφὴ ἀγαπώντων τὸν θεὸν καὶ φοβουμένων τὸν θεόν, 43
καὶ οἶδεν πολλῷ ὑπερέχοντας τῶν φοβουμένων τοὺς ἀγαπῶντας. ἡτοίμασται μὲν οὖν τινα καὶ τοῖς φοβουμένοις· πλὴν μεῖζον ἡτοίμασε τοῖς ἀγαπῶσιν παρὰ τὰ ἡτοιμασμένα τοῖς φοβουμένοις.

τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. ἔστι πνεῦμα ὅπερ δύναται πάντα ἐρευνᾶν· ἡ ψυχὴ τοῦ ἀνθρώπου οὐ δύναται πάντα ἐρευνᾶν, ἀλλ᾽ ἔδει γενέσθαι κρεῖττον ἐν ἡμῖν πνεῦμα, ἵν᾽ ἐκείνου γενομένου ἐν ἡμῖν ἐρευνῶντος πάντα καὶ τὰ βάθη τοῦ θεοῦ, ἀνακραθέντος τε ἡμῖν, ἡμεῖς ἐκείνῳ συνερευνήσωμεν πάντα καὶ τὰ βάθη τοῦ θεοῦ.

## § XI.

ii 12–15 [Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν· ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς πνεύματος, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ, μωρία γὰρ αὐτῷ ἐστίν, καὶ οὐ δύναται γνῶναι ὅτι πνευματικῶς ἀνακρίνεται. ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται.]

22. Cf. 1 Cor. i 19 26. Sir. i 26

[Ὠριγένους]

46 Κατανοήσωμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν· ἐὰν γὰρ μὴ γένηται τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ διδάσκον ἡμᾶς ἐν ἡμῖν, οὐ δυνάμεθα λέγειν ὅτι οἴδαμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, καὶ γὰρ οὐδεὶς οἶδεν τὰ τοῦ θεοῦ εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ.

ἃ καὶ λαλοῦμεν φησὶν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις ἀλλ' ἐν διδακτοῖς πνεύματος καὶ τὰ ἑξῆς. αἱ σοφίαι πᾶσαι τοῦ κόσμου τούτου λόγοι εἰσὶ διδακτοὶ ἀνθρώπων, ἃ μανθάνει τις καθ' ἕκαστον τῶν λογικῶν
47 τεχνῶν· τὰ δὲ διδακτὰ τοῦ πνεύματος οὐ διδάσκει· καὶ οὐκ ἂν λέγοις ὅτι ὁ διδάσκαλος ὑπὸ τοῦ πνεύματος περὶ ὧν λέγει διδαχθεὶς ἐδίδαξεν. τὸ γὰρ πνεῦμα ἐν αὐτῷ τυγχάνον ζητοῦντι καὶ ἐρευνῶντι τὴν ἀλήθειαν ἐλλάμπει, καὶ οὕτως ἀεὶ τῇ ἀνακαινώσει τοῦ νοὸς εὑρίσκει ἃ μὴ μεμάθηκεν παρὰ τῶν ἀνθρώπων. Δια τοῦτο ὁ Σωτὴρ φησὶ Μὴ ζητήσῃς διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ἢ εἷς ἐστιν ὑμῶν ὁ καθηγητὴς ὁ Χριστός. ὀλίγα τινὰ ὑποβάλλει ἄνθρωπος, φέρε εἰπεῖν Παῦλος διδάσκων Τιμόθεον, καὶ λαβὼν ἀφορμὰς ὁ Τιμόθεος ἔρχεται καὶ αὐτὸς ἐπὶ τὴν πηγὴν ὅπου ἐλήλυθεν ὁ Παῦλος καὶ ἀρύεται καὶ γίνεται Τιμόθεος ἴσος Παύλου.

Πῶς δὲ διδάσκεταί τις ἀπὸ τοῦ πνεύματος, κατανοητέον ἀπὸ τῶν ἀποστολικῶν λόγων· πνευματικοῖς γὰρ πνευματικὰ συγκρίνοντες, τῷ συνεξετάζειν τήνδε τὴν λέξιν τῇδε τῇ λέξει καὶ τὰ ὅμοια συνάγειν, ἀνακαλύπτεται ὡσπερεὶ ὁ νοῦς τῆς γραφῆς. οὕτω γὰρ συνίημι τὰ τοῦ θεοῦ καὶ γίνομαι διδακτὸς πνεύματος· οὐ μόνον ⟨τῷ⟩ τὰ τοῦ πνεύματος μεμαθηκέναι τοῦ κινήσαντος τὸν Ἠσαΐαν, ἀλλὰ καὶ τῷ τὸ αὐτὸ πνεῦμα ἐσχηκέναι ὅπερ ἔκλεισεν καὶ ἐσφράγισεν τοὺς Ἠσαΐου λόγους· εἰ μὴ γὰρ τὸ πνεῦμα ἀνοίξῃ τοὺς λόγους τῶν προφητῶν, οὐ δύναται ἀνοιχθῆναι τὰ κεκλεισμένα.

Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἀναγκαίως ἐπιφέρει ὅτι εἰσί τινες ἄνθρωποι μὴ παραδεχόμενοι τὰ τοῦ πνεύματος τοῦ θεοῦ, οὐ διὰ τὴν φύσιν ὡς οἴονται οἱ ἑτερόδοξοι ἀλλὰ διὰ τὸ μὴ παρ⟨ε⟩σκευακέναι ἑαυτούς. ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος, ψυχικὸς γὰρ ἦν· ὅτε ⟨δὲ⟩ ἔκλινεν εἰς θεοσέβειαν καὶ παρεδέξατο τὸ πνεῦμα, γέγονε πνευματικός.

καὶ οὐ δύναται γνῶναι ὁ ψυχικὸς ὅτι πνευματικῶς ἀνακρίνεται· οὐκ οἶδεν διὰ τοῦτο ⟨ὃ⟩ ἀκούει ὅτι ἀνακρίνεται πνευματικῶς, καὶ δοκιμαζομένη γε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας οἷον ἐὰν λέγω ἀπὸ τοῦ πνεύματος διδαχθείς, καὶ δυνάμει λέγω, καὶ ὁ ἀκροατὴς δοκιμάζων τὴν δύναμιν δοκ⟨ῇ⟩ καὶ μὴ συγκατάθηται,

XI 12. Rom. xii 2 13–15. Cf. Matt. xxiii 8, 9, 10 25. Cf. Is. xxix 11 33–34, 36–37. Sap. Sol. i 3

XI. 13–15. See also Orig. *Hom.* xii in Hieremiam, § 1 (ed. Klostermann, p. 85).

XI 23. *om.* τῷ MS 29. παρασκευακέναι MS per incuriam 30. πνεύματος· ψυχικὸς γὰρ ἦν ὅτε MS 32. οὐκ οἶδεν διὰ τοῦτο ὃ Armitage Robinson : οὐκ οἶδεν. διὰ τοῦτο MS 34–35. διδαχθείς. καὶ . . . λέγω· καὶ ὁ ἀκροατὴς . . . δύναμιν. δοκεῖ καὶ μὴ συγκατάθηται· δοκιμαζομένη MS

δοκιμαζομένη ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. καὶ ἔστιν οὐχ ὡς ἐκεῖνος ἀποδοκιμάσας τὸ λεγόμενον ὅσον τὸ λεγόμενον ἀπεδοκίμασεν ἐκεῖνον· εἰς γὰρ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας.

**Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.** ὁ μηκέτι κατὰ σάρκα περιπατῶν ἀλλὰ κατὰ πνεῦμα καὶ ἀεὶ τῇ ἐπιμελείᾳ αὔξ⟨ω⟩ν αὐτὸ καὶ ἀναζωπυρῶν τὸ χάρισμα τοῦ θεοῦ ἐπὶ πλεῖον, ἑαυτῷ κατασκευάζει τὸ γενέσθαι **πνευματικός**· γενόμενος δὲ ἱκανός ἐστιν **ἀνακρίνειν τὰ πάντα**, τὰ Ἑλλήνων, τὰ βαρβάρων, τὰ σοφῶν, τὰ ἀνοήτων· αὐτὸν δὲ οὐδεὶς δύναται ἀνακρῖναι διὰ τὸ μέγεθος τῆς διανοίας αὐτοῦ καὶ ⟨τῶν⟩ διαλογισμῶν αὐτοῦ. εἰ δὲ θέλεις ἐπιγινώσκειν τὸν πνευματικόν, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθ⟨ε⟩ αὐτούς. τίνες δὲ οἱ καρποὶ τοῦ πνεύματος ἀφ' ὧν δεῖ νοεῖν τίς ὁ **πνευματικός**; ἄκουε τοῦ ἀποστόλου λέγοντος ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· ὅπου ταῦτα, ἐκεῖ τὸ πνεῦμα, ἐκεῖνος **πνευματικός**· ὅπου δὲ τούτων τι λείπει, οὔπω **πνευματικός** ἐστιν ἐκεῖνος.

## § XII.

iii 1–3 a [**Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς ἀλλ' ὡς σαρκί⟨ν⟩οις, ὡς νηπίοις ἐν Χριστῷ. γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε.**]

[Ὠριγένους]

Τῶν ἀκουόντων οἱ μὲν **τέλειοί** εἰσιν, οἱ πνευματικοί, περὶ ὧν καὶ πρώην ἐλέγομεν· οἱ δὲ μὴ ὄντες πνευματικοὶ **πιστεύοντες** δὲ ἐπὶ τὸν Χριστόν, ὡς λέγει ὁ ἀπόστολος, **νήπιοι ἐν Χριστῷ καὶ σάρκινοι** ἐν Χριστῷ· ἐγὼ γὰρ ἀπὸ κοινοῦ ἀκούω τοῦ **Ἐν Χριστῷ**. χρεία οὖν μαθημάτων τοῖς μὴ **τελειοτέροις** καὶ μηδέπω γεγυμνασμένοις ἐν ταῖς ἱεραῖς γραφαῖς ὑποδεεστέρων, ἅτινα ὠνόμασεν ὁ ἀπόστολος **γάλα** εἶναι· γάλα γάρ φησιν **ἐπότισα ὑμᾶς οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε.** ἀναφορὰν δὲ νομίζω εἶναι ἐν ταῖς πνευματικαῖς ⟨τ⟩ρ⟨ο⟩φαῖς **γάλακτος, βρώματος,** βρώσεως ἀληθινῆς, στερεᾶς τροφῆς, σαρκὸς τοῦ λόγου, καὶ λαχάνου πνευματικοῦ. καὶ ταῦτα τολμῶ λέγειν πειθόμενος ταῖς γραφαῖς· οὐ γὰρ εἶπεν πᾶσαν πνευματικὴν τροφὴν ἀληθῆ εἶναι βρῶσιν, λέγων ἡ σάρξ μου ἀληθής ἐστι βρῶσις. ποῖα οὖν οὐ στερεὰ τροφή, τὰ ἠθικώτερα καὶ ὅσα ἐν τοῖς ἠθικοῖς ἀσθενέστερα, κατὰ συγγνώμην λεγόμενα οὐ κατ' ἐπιταγήν, διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων οἰκονομούμενα. ὅσα δὲ

37–39 Sap. Sol. i 4 42. Rom. viii 4 43. 2 Tim. i 6 47. Matt. vii 16 48–9. Gal. v 22–23 XII 6. Hebr. v 14 9, 11–12. Io. vi 55 9, 12. Hebr. v 12, 14 10. Rom. xiv 2 13–14. 1 Cor. vii 6

XII 2. *πρώην ἐλέγομεν.* These words suggest an extract from Homilies. Cf. also § XV 19

41. *αὔξον* MS 45. *om.* *τῶν* MS 46. *ἐπιγνώσεσθαι* MS per incuriam
XII *σαρκικοῖς* MS male 9. *τροφαῖς* scripsi: *γραφαῖς* MS

ἐν ἠθικοῖς τελειοτέρα διδασκαλία ἐν ἀκροαταῖς φιλομαθέσι καὶ φιλοπόνοις, ταῦτα εἴποιμι ἂν ἐν ἠθικοῖς στερεὰν τροφήν, τὴν περὶ ἁγνείας τελείας, τὴν περὶ παρθενίας ἢ σωφροσύνης, τὴν περὶ μαρτυρίου· ταῦτα στερεὰ τροφή. στερεὰ δὲ τροφὴ ἐν μυστικοῖς ἡ περὶ Πατρὸς καὶ Υἱοῦ. οὕτω δὲ καὶ ὁ νόμος ὅτε μὲν στερεὰν παραδίδωσι τροφήν, ὅτε δὲ ὑποδεεστέραν. οἷον ἐρχόμεθα ἐπὶ τὸν λόγον τὸν περὶ τῶν ὄφεων τῶν ἀναιρούντων τοὺς υἱοὺς Ἰσραὴλ διὰ τὸν γογγυσμόν· ἐὰν ἁπλούστερον ἀναγινώσκωμεν, λέγομεν Μηδὲ γογγύζωμεν, καθάπερ τινὲς αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τῶν ὄφεων. ἐὰν δὲ μυστικὸν λόγον δύν⟨η⟩ται ἀκούειν ὁ ἀκροατής, λέγομεν τίνες οἱ ὄφεις καὶ τίς ὁ ὄφις ὁ ἐπὶ τοῦ ξύλου κρεμασθείς, καὶ πῶς σώζεται πρὸς ἐκεῖνον τὸν ὄφιν ἰδών, καὶ οὕτως καθ' ἑκάστην γραφὴν πνευματικήν.

52 Τίνες δέ εἰσιν οἱ γάλακτι ποτιζόμενοι δηλώσει ὁ Πέτρος ἐν τῇ ἐπιστολῇ λέγων ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε· καὶ ἐν τῇ πρὸς Ἑβραίους δὲ καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς· πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστιν· τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

## § XIII.

iii 3–5 [Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρεις καὶ διχοστασίαι, οὐχὶ σάρκι⟨ν⟩οί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; ὅτ' ἂν γὰρ λέγῃ τις Ἐγὼ μὲν εἰμὶ Παύλου· ἕτερος δὲ Ἐγὼ Ἀπολλῶ· οὐκ ἄνθρωποί ἐστε;]

[Ὠριγένους]

Τῶν ἐν ἀνθρώποις ἁμαρτημάτων τὰ ἐλάττονά ἐστι ζῆλος καὶ ἔρεις. ἐὰν ἐν πορνείᾳ τις ἔσται, οὐκέτι σάρκινος ὁ τοιοῦτός ἐστιν ἀλλὰ χείρων ἢ σάρκινος. τί δ' ἂν εἴη ὁ τοιοῦτος, εἴδωμεν. ἐγὼ νομίζω διαφορὰν εἶναι σαρκίνου καὶ χοϊκοῦ· Ὡς ἐφορέσαμεν, φησί, τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. ἐὰν οὖν τὰ πρὸς θάνατον ἁμαρτάνῃς, οὐκ εἶ σάρκινος
53 ἀλλὰ χοϊκός· ἐὰν δὲ ἁμαρτάνῃς μέν, οὐ πρὸς θάνατον δέ, οὐ χοϊκὸς τέλεον
οὐδὲ ἀποπεπτωκ⟨ὼ⟩ς τῆς χάριτος τοῦ Χριστοῦ, ἀλλὰ σάρκινος εἶ τότε.

καὶ τῶν περιπάτων δὲ ἡμῶν ὁ μέν τίς ἐστι κατὰ ἄνθρωπον, ὁ δὲ κατὰ θεόν. ἐὰν ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων περιπατῶμεν, κατὰ ἄνθρωπον περιπατοῦμεν· ἐὰν δὲ κατὰ τὸ λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, διαφέρομεν τῶν πολλῶν καὶ οὐ κατὰ ἄνθρωπον περιπατοῦμεν. σαφὴς οὖν ὁ βίος τῷ δυναμένῳ βλέπειν ποῖός ἐστιν ὁ κατὰ ἄνθρωπον καὶ ποῖος ὁ κατὰ θεόν.

ὅταν γάρ τις λέγῃ Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ. καὶ τούτοις προσέχωμεν. ὀψόμεθα ὅτι ἡμεῖς ἐνίοτε οὐδὲ ἄνθρωποι ἀλλὰ χεῖρον ἢ ἄνθρωποί ἐσμεν. ὁ γὰρ λέγων τότε Ἐγώ εἰμι Ἀπολλώ, ἔλεγεν περὶ ἀνδρὸς

XII 20 ff. Num. xxi 6 ff. 21. 1 Cor. x 10 27. 1 Pet. ii 2 27 ff. Heb. v 12–14
XIII 5–6. 1 Cor. xv 49 6–7. 1 Io. v 16–17 11. Matt. v 16

XII 23. δύνηται scripsi: δύναται MS XIII 8. ἀποπεπτωκώς Armitage Robinson: ἀποπέπτωκας MS 13. Ἀπολλῶ MS passim 15. προσεχόμενα Turner: κηφᾶ· καὶ τούτοις προσέχωμεν. ὀψόμεθα MS

ἐλλογίμου καὶ ἁγίου καὶ μακαρίου· ὁ λέγων Ἐγώ εἰμι Παύλου, περὶ ἀνδρὸς λέγει ἀποστόλου ἱεροῦ καὶ μακαρίου. ἐνίοτε δὲ γίνονται προσκλίσεις οὐ παραπλησίως τῇ προσκλίσει Παύλου ἢ Ἀπολλώ, ἀλλὰ προσκλίνεταί τις ἁμαρτωλῷ ἐνίοτε καὶ ἑτεροδόξῳ. εἰ οὖν οὗτοι ἄνθρωποί εἰσι καὶ κατὰ σάρκα περιπατοῦσιν, οἱ λέγοντες Ἐγὼ Ἀπολλὼ ἐγὼ δὲ Παύλου· ὅτ' ἂν σὺ λέγῃς ἑαυτὸν τινὸς ὑποδεεστέρου εἶναι, δῆλον ὅτι οὐκέτι οὐδὲ ἄνθρωπος ⟨εἶ⟩ ἀλλὰ καὶ χεῖρον ἢ ἄνθρωπος· καὶ ἴσως λελέξεται πρὸς σὲ Ὄφεις γεννήματα ἐχιδνῶν.

## § XIV.

iii 6–8 [**ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ θεὸς ηὔξανεν· ὥστε οὔτε ὁ φυτεύων ἐστί τι οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων θεός. . . . ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.**]

[**Ὠριγένους**]

Εἰ **ἐφύτευσεν** ὁ Παῦλος, *συνεφύτευσε τῷ φυτεύοντι προηγουμένως θεῷ· εἰ* 54
**ἐπότισεν** Ἀπολλώς, *συνεπότισε τῷ προηγουμένως* **ποτίσαντι** Χριστῷ· *φυτεύει γὰρ ὁ θεός·* διὸ *γέγραπται* πᾶσα φυτεία ἣν *οὐκ* ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται· *καὶ πάλιν* ὁ πατήρ μου ὁ γεωργός ἐστιν. ποιήσωμεν *οὖν* καρποὺς *ἵνα μὴ* ἐκκοπῶμεν *κατὰ τὴν ἄκαρπον* συκῆν. πᾶν *γὰρ* δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. *ἐπέχωμεν μὴ λεχθῇ περὶ ἡμῶν* ἔμεινα *ἵνα ποιήσῃ* σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας. *ἐὰν γὰρ ταῦτα εἴπῃ περὶ ἡμῶν, ἐρεῖ καὶ τὰ ἑξῆς* Νῦν *οὖν* ἀναγγελῶ τί ποιήσω τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα.

## § XV.

iii 9–15 [**θεοῦ γάρ ἐσμεν συνεργοί· θεοῦ γεώργιον, θεοῦ οἰκοδομή ἐστε. κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ. ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ· θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός· εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσ⟨ί⟩ον, ἀργύρ⟨ι⟩ον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται, ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.**]

[Ὠριγένους]

Ἐπεὶ οὐ *μόνον* **γεώργιον** ἀλλὰ καὶ **θεοῦ οἰκοδομή** *ἐσμεν, ζητῶ τὸν ἀρχι-* 58
*τέκτονα τῆς οἰκοδομῆς καὶ τοὺς συνεργοῦντας αὐτῷ. τοῦτο γὰρ νοῶν ὁ ἀπόστολος φησὶ* **κατὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων**

20. 2 Cor. x 2 23. Matt. xxiii 33 XIV 4. Matt. xv 13 5. Io. xv 1 Lc. xiii 7 6. Matt. vii 19 7. Is. v 2 9. Is. v 5

XIII 22. *om.* εἶ MS XV 2. ζήτει Turner

**θεμέλιον τέθεικα·** τὴν γὰρ ἐν Κορίνθῳ ἐκκλησίαν πρὸ τοῦ ἀποστόλου οὐδαμῶς ⟨οὖσαν⟩ ὑπέστησεν ὁ Παῦλος. καὶ ἐπειδὴ σχίσματα ἦν ἐν αὐτοῖς φησὶν ὅτι **δοθείσης μοι χάριτος** ὑπὸ **τοῦ θεοῦ ὡς σοφὸς ἀρχιτέκτων ἔθηκα τὸν θεμέλιον, ἄλλος δὲ ἐποικοδομεῖ·** εἰ γὰρ ἕτερος μετελθὼν ἐπὶ τὸν **θεμέλιον** τῆς ἐκκλησίας **ἐποικοδομεῖ**, ἐκεῖνος οὐκ ἔστιν **ἀρχιτέκτων** τῆς ἐκκλησίας ἀλλ' **ἐποικοδομεῖ** τῇ ἐκκλησίᾳ· εἰ θέλεις οὖν ἰδεῖν ὅτι **σοφὸς ἀρχιτέκτων** ὁ Παῦλος, ἄκουε αὐτοῦ ὅτι Ἀπὸ Ἱερουσαλὴμ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ πεπλήρωκα τὸ εὐαγγέλιον τοῦ θεοῦ, φιλοτιμούμενος εὐαγγελίζεσθαι οὐχ ὅπου ὠνομάσθη Χριστός, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ. καὶ οὐ μόνον **ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον** κατεβάλλετο, ἀλλὰ καὶ ἀρχιτεκτονικὰ οἱονεὶ βιβλία ἔγραψεν, πῶς δεῖ τὸν **ἀρχιτέκτονα** οἰκοδομεῖν οἰκίαν, ὁποῖον δεῖ τὸν ἐπίσκοπον εἶναι πρεσβυτέρους τε καὶ διακόνους καὶ τὸ ὑπόλοιπον τῆς ἐκκλησίας πλήρωμα· ταῦτα γὰρ πάντα οἱονεὶ νόμοι ἀρχιτεκτονικοὶ ἦσαν.

**Ἄλλος** οὖν φησὶν **ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ.** τοῦτο γὰρ κἀμοὶ λέγει, ἵνα μὴ ἀμεριμνῶν ἐποικοδομῶ, εἰδὼς ὅτι τὸ **ἔργον** ὃ ἐποικοδομῶ **ὁποῖόν ἐστι τὸ πῦρ αὐτὸ δοκιμάσει** ἐν ἐκείνῃ τῇ **ἡμέρᾳ**. φροντίζω δὲ μήποτε ἐποικοδομῶν **ξύλα χόρτον καλάμην** ἐποικοδομήσω. ἐὰν γὰρ προσαγάγω ψυχὰς ἀκρίτως τῇ ἐκκλησίᾳ φαύλας, προσήγαγον τῷ καλῷ θεμελίῳ Χριστῷ Ἰησοῦ ξύλα, ἄλλους χόρτον, καὶ ἄλλους καλάμην· ὥσπερ πάλιν ἐάν τινες διαλάμψ⟨ω⟩σιν ἐκ τῆς οἰκοδομῆς, καὶ τοσοῦτον διαλάμψ⟨ω⟩σιν ὥστε εὑρεθῆναί τινας ἀνάλογον τοῖς γεγραμμένοις περὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ λίθους ἐκλεκτοὺς καὶ λίθους κρυστάλλου καὶ λίθους σαπφείρου καὶ λίθους ὅσους ὠνόμασεν ἐκεῖ, δῆλον ὅτι ἐπῳκοδόμησα τῷ θεμελίῳ **λίθους τιμίους**. καὶ ἐπειδὴ ⟨δεῖ⟩ **τὸν ναὸν τοῦ θεοῦ** καὶ τὴν οἰκοδομὴν καὶ χρυσίον ἔχειν ὥσπερ ὁ ναὸς ὃν Σολομὼν ᾠκοδόμησεν σύμβολον ναοῦ ἔχοντος χρυσὸν καὶ ἄργυρον πολύν, ἐὰν ἄλλος τις ἔλθῃ ἐποικοδομούμενος τιμιώτερος ἀργυρίου εὑρεθείη ἂν χρυσός. εὐλαβοῦμ⟨αι⟩ δὲ ἐγὼ μή ποτε δι' ἐμοῦ ξύλον εἰσέλθῃ καὶ χόρτος καὶ καλάμη, καὶ ὁ ταλαίπωρος ἐγὼ (κἂν ἄλλως κριθῶ ἄξιος σωτηρίας· ἐπεὶ γέγραπται **αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός**) οὕτως σωθῶ ὡς αἴτιος γενόμενος, τῷ μὴ κεχωρηκέναι **τὴν χάριν** μηδὲ καλῶς ᾠκοδομηκέναι, τοῦ τὴν οἰκοδομὴν πεπληρωκέναι ξύλων, χόρτου, καλάμης, ὅπερ οὐ βούλεται ὁ λόγος τοῦ θεοῦ· **τὸ γὰρ ἔργον ὁποῖόν ἐστιν ἑκάστου τὸ πῦρ δοκιμάσει.**

Θέλω δὲ καὶ ἄλλως ἀπογράψασθαι τὸ **Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός** καὶ τὰ ἑξῆς. ἐξ οὗ ὁ κύριός μου Ἰησοῦς Χριστὸς ἐπεδήμησεν, οὗτος θεμέλιος εἰς τὸν κόσμον κεκήρυκται· καὶ τοῦτον τὸν θεμέλιον ἐν μὲν τῇ Ἰουδαίᾳ οἱ ἀπόστολοι ἔθηκαν, ἐν

XV 11. Rom. xv 19–20   15. Lc. vi 48   1 Tim. iii 2; Tit. i 7   16. 1 Tim. iii 8   26. Is. liv 11–12   32. Rom. vii 24

XV 5. τὴν . . . ἐκκλησίαν πρὸ τοῦ ἀποστόλου, οὐδαμῶς ὑπέστησεν ὁ Παῦλος MS: οὐδαμῶς οὖσαν Armitage Robinson | πρὸ τοῦ ἀποστόλου οὐδαμῶς ὑπέστησεν ο⟨ὐδεὶς ἄλ⟩λος Turner   24–25. διαλάμψουσιν MS   28. *om.* δεῖ MS   31. εὐλαβουμένῳ δὲ ἐγώ MS

δὲ τοῖς ἔθνεσιν ὁ ἀπόστολος τῶν ἐθνῶν καὶ ὁ συνεργὸς αὐτοῦ Βαρνάβας· δεξιὰς γὰρ ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη αὐτοὶ δὲ εἰς τὴν περιτομήν. κηρυχθέντος τοίνυν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ λόγου, καὶ τοῦ θεμελίου τούτου καταβληθέντος, οὐδεὶς δύναται ἄλλον θεμέλιον θεῖναι παρὰ Ἰησοῦν Χριστόν· οἱ δὲ ἐποικοδομοῦντες, εἰ μὲν ὀρθοδοξοῦσι διὰ τῶν ⟨ἀ⟩ϊδίων δογμάτων καὶ τῶν θείων νοημάτων καὶ τῶν καλῶν λόγων καὶ τῶν ἱερῶν πράξεων, ἐποικοδομοῦσι τῷ θεμελίῳ χρυσὸν ἄργυρον λίθον τίμιον. χρυσὸς γὰρ πολλάκις τετήρηται, ἀντὶ νοῦ λαμβανόμενος καὶ νοημάτων· εἰ λέγω καλῶς, ἐποικοδομῶ ἄργυρον· εἰ διηγοῦμαι δεόντως καὶ εἰς πολιτείαν προτρέπω καλῶς τοὺς ἀκροατάς, λίθους τιμίους ἐποικοδομῶ. ὅσοι μέντοι γε τῶν διδασκόντων Ἰησοῦν Χριστὸν ἐσφάλησαν τῆς ἀληθείας, ἐπῳκοδόμησαν τῷ θεμελίῳ ξύλα χόρτον καλάμην· καὶ εἴποιμι ἂν ὅτι οἱ ἀπὸ τῶν αἱρέσεων πάντες οἱ μὲν βλασφημότεροι ξύλα, οἱ δὲ ἔλαττον ἁμαρτήσαντες ἐν τῇ διδασκαλίᾳ χόρτον, οἱ δὲ ἰσχνά τινα καὶ ἵν' οὕτως ὀνομάσω ἐλάττονα καλάμην.

Φέρε δὲ καὶ κατὰ τὸ ῥητὸν ἴδωμεν. τοῦτο τὸ λεχθησόμενον ἑνὸς ἑκάστου ἡμῶν ἅπτεται· ἕκαστος ἡμῶν παραδεξάμενος τὸν λόγον τοῦ εὐαγγελίου, παρεδέξατο Ἰησοῦν Χριστὸν θεμέλιον, ἵν' ἐν πᾶσιν οἷς πράττει καὶ λέγει καὶ διανοεῖται ἐποικοδομ⟨ῇ⟩ τούτῳ τῷ θεμελίῳ. εἰ μὲν οὖν καλὰ νοοῦμεν καὶ διανοούμεθα, ἐποικοδομοῦμεν χρυσόν· εἰ ἁγνῶς λέγοντες πάντα λόγον λεγόμενον ἁγίως λέγομεν, ἐποικοδομοῦμεν ὡς ἀργύριον· εἰ πᾶσα πρᾶξι⟨ς⟩ ἣν πράττομεν καλή ἐστιν, ἐποικοδομοῦμεν ὡς λίθον τίμιον, τὴν δὲ τιμὴν τῶν λίθων καὶ τὴν ποιότητα ὁ θεὸς κρίνει. εἰ μέντοιγε ἁμαρτάνω μετὰ τὸν θεμέλιον, τὰ μὲν μεγάλα μοι τῶν ἁμαρτημάτων ξύλα ἔσται, τὰ δὲ ὑποδεέστερα χόρτος, τὰ δὲ ἔτι ὑποδεέστερα καλάμη. καὶ ζητῶ μήποτε †αἱ μὲν ῥίζαι† καὶ τὰ νοήματα, ὅτ' ἂν ᾖ ἐσφαλμένα, ξύλα ἐστί· πηγὴ γάρ ἐστι τῶν κακῶν τὰ νοήματα· οἱ δὲ λόγοι χόρτος, ἡ δὲ πρᾶξις καλάμη· ὑποδεεστέρα γάρ ἐστιν ἡ ἀξία τῆς πράξεως παρὰ τὸν λογισμόν· ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν.

§ XVI.

iii 16–20 [οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστὲ καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός· ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν· οἵτινές ἐστε ὑμεῖς. μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ ἐστί· γέγραπται γάρ Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· καὶ πάλιν Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι.]

['Ὠριγένους]

Εἰ θέλεις ἀληθινὸν ναὸν τοῦ θεοῦ μαθεῖν, ζήτει λίθους ζῶντας καὶ καθαροὺς

42. Rom. xi 13 43. Gal. ii 9 57. Cf. Mc. iv 20 XVI 2. 1 Pet. ii 5

XV 46. ἀϊδίων vel ὑγιῶν Turner: ἰδίων MS 56. εἴδωμεν MS 59. ἐποικοδομεῖ MS 61. πᾶσαν πρᾶξιν MS 65. αἱ μὲν ῥίζαι MS: in archetypo fortasse αἱ μὲν ῥίζαί ⟨εἰσι τὰ νοήματα⟩ καὶ τὰ νοήματα κτλ. 67. ἡ καλάμη MS ἡ ἀξία Turner : τῇ ἀξίᾳ MS XVI 2. καθαρῶς Turner

λελατομημένους, ὑπὸ τοῦ λόγου βεβληκότας, καὶ ἑστῶτας τετραγώνους, μηδὲν ἔχοντας ἄστατον μηδὲ κυλιόμενον· εἰ γὰρ καὶ λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς, ἀλλ' οἱ λατόμοι οὐκ ἐῶσιν αὐτοὺς μέχρι τέλους κυλίεσθαι. ὑμεῖς οὖν ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε οἶκος πνευματικὸς εἰς ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους θεῷ διὰ Ἰησοῦ Χριστοῦ. καὶ παρὰ τῷ ἀποστόλῳ δὲ λέγεται ὅτι ἐσμὲν ναὸς οἱ πάντες εἷς, ἑκάστου ἡμῶν λίθου τινὸς ὄντος ἀπὸ τοῦ ναοῦ. φ⟨η⟩σὶ δὲ οὕτως ἐν τῇ πρὸς Ἐφεσίους· Ἄρα οὐκ ἐστὲ ξένοι καὶ πάροικοι ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ τῶν προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ· ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι. Δεῖ οὖν μηδένα λίθον ἀνάρμοστον εἶναι τῇ οἰκοδομῇ· ἐὰν γὰρ δύο φησὶ συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. πόσῳ οὖν πλέον, ἐὰν πάντες οἱ λίθοι συμφωνήσωσιν εἰς μίαν ἁρμονίαν καὶ γένηται πάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία, ἡ εὐχὴ αὐτῶν δυνήσεται καὶ ἰσχύσει; καλὸν οὖν ἐστὶ τὸ αὐτὸ λέγειν πάντας ἡμᾶς ἵνα ὦμεν κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ· οὕτως γάρ ἐστε οἰκοδομὴ συναρμολογουμένη εἰς ναὸν ἅγιον ἐν κυρίῳ.

Δύναται δὲ καὶ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν εἶναι ναὸς ἑτέρῳ λόγῳ· εἰ γὰρ ναός ἐστιν ὁ ἔχων δόξαν θεοῦ, πᾶς ὁ ἔχων ἐν ἑαυτῷ δόξαν θεοῦ ναός ἐστι κατὰ τοῦτο τοῦ θεοῦ. δόξαν δὲ ἔχει πλείονα ἢ ἐλάττονα ὁ ποιῶν δοξάζεσθαι τὸ ὄνομα τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς διὰ τὰς πράξεις αὐτοῦ· διὸ γέγραπται τοὺς δοξάζοντάς με δοξάσω.

τότε οὖν μάλιστα ἐσόμεθα ναὸς θεοῦ, ἐὰν χωρητικοὺς ἑαυτοὺς κατασκευάσωμεν τοῦ πνεύματος τοῦ θεοῦ. οὐ δύναται μέντοι γε ἔχων τις πνεῦμα ἁμαρτίας τινὸς εἶναι ναὸς θεοῦ, ἐπειδήπερ τὸ πνεῦμα τοῦ θεοῦ μόνον οἰκεῖ ἐν ᾧ κρίνει κατοικεῖν.

εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. Τὸ ὅσον ἐφ' ἑαυτῷ ἕκαστος, κἂν λίθος ᾖ, φθείρει τὸν ναὸν τοῦ θεοῦ ἁμαρτήσας, καὶ ὁ σκάνδαλόν δέ τι παρέχων τῇ ἐκκλησίᾳ φθείρει τὸν ναὸν τοῦ θεοῦ· κυριώτερον δὲ φθείρει τὸν ναὸν τοῦ θεοῦ ὁ πορνεύων, ἐπειδήπερ τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ τοῦ θεοῦ. λέγεται οὖν ἄφθορος ὁ καθαρός, ἐφθαρμένη δὲ ἡ μηκέτι παρθένος, ὡς δὴ τοῦ ἔργου τούτου μόνου φθείροντος. εἴπερ οὖν τοῦτο ἔργον φθορᾶς ἐστιν, τοῦτο μάλιστα φυλαξώμεθα. ἐπεὶ καὶ ὁ κύριος μετὰ πάντων τῶν ἀγαπώντων τὸν θεὸν ἐστὶν ἐν ἀφθαρσίᾳ.

XVI 4. Zech. ix 16 5 ff. 1 Pet. ii 5 8. 2 Cor. vi 16, cf. 1 Cor. x 17 9 ff. Eph. ii 19–22 14. Matt. xviii 19 17. Act. iv 32, cf. Iac. v 16 20. 1 Cor. i 10 22. Apoc. xxi 11 23. Matt. v 16 24. 1 Sam. ii 30 32 f. 1 Cor. vi 19 37. Eph. vi 24

XVI 12. Cf. note on Orig. in Ep. ad Eph. (*J.T.S.* iii 407) and Armitage Robinson's *Commentary on Ephesians* p. 297

XVI 9. φασί MS 20. ἔσται Turner

*καὶ ταῦτα μὲν ἰδίαν ἔσχεν περιγραφήν· ἐπειδὴ δὲ Κορίνθιοι μέγα ἐφρόνουν ἐπὶ τῇ τοῦ κόσμου σοφίᾳ, διὰ τοῦτο φησὶ πρὸς αὐτούς* **Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν** *(οὐχὶ εἴ τις σοφός ἐστιν ἀλλὰ* **δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν**), **ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω·** *οὐκ εἶπεν ἁπλῶς μωρός, ἀλλ'* **ἐν τῷ αἰῶνι τούτῳ,** *ὡς γὰρ πρὸς τὸν αἰῶνα τοῦτον μωροὺς ἡμᾶς λέγουσιν.* **μωρὸς οὖν γενέσθω ἐν τῷ αἰῶνι τούτῳ, ἵν'** *ἐκ τοῦ τῷ αἰῶνι τούτῳ μωρὸς γεγονέναι γένηται ἀληθῶς* **σοφός· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ θεῷ ἐστίν.** *πῶς γὰρ οὐ μωρὸς ὁ μὴ λέγων μὴ εἶναι πρόνοιαν ἢ ἐξ ἀτόμων καὶ κενοῦ τὰ πάντα συνεστηκέναι ἢ τὴν ἡδονὴν τέλος εἶναι τῶν ἀγαθῶν, καὶ τἆλλα λέγων ὅσα τῆς ἔξω καὶ δοκούσης σοφίας ὕθλοι καὶ λῆροι τυγχάνουσιν· οὗτος γὰρ ἀληθῶς μωρός ἐστιν καὶ ταῦτα τὰ δόγματα μωρία εἰσίν. καὶ ἁπαξαπλῶς πᾶσαν Ἑλληνικὴν καὶ βαρβαρικὴν ἐξετάζων φιλοσοφίαν ἐρεῖς ὅτι ἐν οἷς διαφωνεῖ πρὸς τὴν Χριστοῦ διδασκαλίαν μωρία ἐστίν.*

**γέγραπται γὰρ** Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν.

*Ἐγὼ φημὶ οὐ μέγα πρᾶγμα εἶναι ἐὰν ὁ θεὸς ὡς θεὸς δράξηται* **τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν,** *⟨ἀλλ'⟩ ἐν Παύλῳ τῷ λέγοντι* ἐν σαρκὶ γὰρ *ζῶντες* οὐ κατὰ σάρκα στρατευόμεθα· τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων· λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. *ἵνα δὲ τοῦτο σαφέστερον νοήσῃς, ἴδε μοι τὸν Παῦλον ἐπιδημήσαντα ταῖς Ἀθήναις καὶ ζητοῦντα* πρὸς τοὺς παρατυγχάνοντας *ὥστε καί τινας* τῶν Ἐπικουρείων καὶ Στωικῶν φιλοσόφων *συμβαλεῖν* αὐτῷ, *τότε γὰρ τῇ χάριτι τοῦ Χριστοῦ περιεδράσσετο αὐτῶν καὶ ἐδείκνυεν αὐτῶν τὰ σοφίσματα· ἐνταῦθα δὲ* **τοὺς σοφοὺς** *ὠνομάσθαι νομίζω τοὺς σοφιστάς, ὅσοι σοφίσματα περιπεπλεγμένα λέγουσιν οὐκ ἀλήθειαν δὲ διδάσκουσιν.* **καὶ πάλιν** Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν **σοφῶν** ὅτι εἰσὶ μάταιοι. *Οὐ θαυμαστὸν ἐὰν* **ὁ Κύριος** *καθ' ἑαυτοῦ* **γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι·** *ἀλλὰ θέλω ἐν ἐμοὶ γενόμενον τὸν Κύριον γινώσκειν τοὺς διαλογισμοὺς τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι. ἐὰν γὰρ γένηται* ἐν ἐμοὶ Χριστός, *δύναταί μοι παραστῆσαι πῶς οἱ διαλογισμοὶ τῶν τοῦ κόσμου σοφῶν εἰσὶ μάταιοι καὶ πῶς λάμπει ἡ σοφία μόνη τοῦ θεοῦ νικῶσα καὶ καταπατοῦσα πᾶσαν δοκοῦσαν σοφίαν.*

54. 2 Cor. x 3–5 58 f. Act. xvii 17 66. Gal. ii 20

54. πανουργίᾳ αὐτῶν· ἐν Παύλῳ MS

CLAUDE JENKINS.

# *DOCUMENTS*

## ORIGEN ON I CORINTHIANS.

## II.

### § XVII.

iii 21–23 [**ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστιν,** 69
**εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε**
**ἐνεστῶτα εἴτε μέλλοντα· πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ θεοῦ.**]

[Ὠριγένους]

Ὁ δυνάμενος ἀποτάξασθαι πᾶσιν ἀνθρώποις καὶ ὅλος γενέσθαι ἄξιος τῆς ἐν Χριστῷ καυχήσεως, οὗτος οὐκ ἐν ἀνθρώπῳ καυχᾶται.

Πῶς δὲ ὁ **θάνατος** ἐμός ἐστιν; ἵνα ἀποθάνω τῇ ἁμαρτίᾳ· ἵνα εἴπω Εἰ καὶ
συναπεθάνομεν, καὶ συζήσομεν. ὁ γὰρ ἄλλος θάνατος καθ' ὃν ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται οὐκ ἔστιν ἐμός. καὶ τὰ **ἐνεστῶτα** δὲ ἡμῶν ἐστιν· ὅτι
συναγόμεθα ἐν τῷ ἐνεστῶτι αἰῶνι, ὅτι ἀκούομεν γραφῶν ἱερῶν, ὅτι εὐχόμεθα.
τὰ δὲ **μέλλοντα**· ὅταν γὰρ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.
καὶ οὐχ οἷόν τέ ἐστιν ἐπὶ τὰ **μέλλοντα** ἐλθεῖν ἐὰν μὴ πρῶτον γένηταί μοι τὰ
**ἐνεστῶτα**. **πάντα ὑμῶν**· θαυμάζεταί τις λόγος παρ' Ἕλλησιν εἰρημένος
τοιοῦτος· ‘Πάντα τοῦ σοφοῦ καὶ οὐδὲν τοῦ φαύλου·’ ταῦτα δὲ ὁ λόγος τοῦ
θεοῦ πρῶτος ἐδίδαξεν ὅτι Πάντα τοῦ ἁγίου ἐστίν. τοῦ οὖν πιστοῦ, φησίν, 70
ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός· ὡς γὰρ λῃστὴς
ἔχει ἃ ἔχει ὁ ἄπιστος· οὐ γὰρ εἰδὼς αὐτοῖς χρῆσθαι οὐδὲ τὸν κτίσαντα
ταῦτα θεὸν οὐδὲ ἀκούων τοῦ λέγοντος Ἐμὸν τὸ ἀργύριον καὶ ἐμὸν τὸ χρυσίον,
οὐχ ὡς αὐτοῦ ἐκεῖνα ἔχει. ἡμεῖς δὲ ὁρῶμεν ὅτι **πάντα** ἡμῶν ἐστιν· καὶ
ἔστι τοῦ ⟨πιστοῦ⟩ ὅλος ὁ κόσμος τῶν χρημάτων τοῦ δὲ ἀπίστου οὐδὲ
ὀβολός.

### § XVIII.

iv 1–5 [**οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων θεοῦ. ὃ δὲ λοιπὸν ζητεῖτε ἐν τοῖς οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ. ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι, ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. ὥστε μὴ πρὸ**

XVII 1. Lc. ix 61; cf. xiv 33 4. Rom. vi 2; 2 Tim. ii 11 5 f. Ezek. xviii 4 [20] 8. 1 Cor. xiii 10 15. Hag. ii 8

XVII 6–7. The liturgical reference may be noted.

XVII 6–7. ὅτι: fortasse ὅτε (ter) Turner 17. πιστοῦ scripsi: σοφοῦ MS

**καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ.]**

[Ὠριγένους]

71 Ὁ μὴ διαβεβηκὼς τῷ λόγῳ περὶ τὴν κατάληψιν τῶν ἐγκεκρυμμένων ἐν τῇ γραφῇ μυστηρίων δύναται μὲν **ὑπηρέτης** εἶναι **Χριστοῦ**, οὐ δύναται δὲ **οἰκονόμος** εἶναι **μυστηρίων θεοῦ**· ὁ γὰρ οἰκονόμος ὧν ἔχει τὰ οἰκονομούμενα καὶ ΟἾΔΕΝ ΤᾺ ΜΥϹΤΗΡΙΑ τοῦ θεοῦ. μή ποτε οὖν ὁ μὲν **ὑπηρέτης Χριστοῦ** κατὰ τὴν κοινοτέραν νοεῖται διακονίαν προστ⟨ά⟩ς, ὁ δὲ **οἰκονόμος μυστηρίων θεοῦ** κατὰ τὴν διοίκησιν τὴν περὶ τὰ γνωσθέντα μυστήρια, ἵνα μὴ παρα⟨ρ⟩ρίπτῃ ταῦτα ὡς ἔτυχεν μηδὲ ἀνεξετάστως αὐτὰ παραδιδῷ· ἀλλὰ προκαθάρας, προευτρεπίσας, προαποστήσας τοῦ κόσμου τὸν μέλλοντα ἀκούειν μαθημάτων ὑπερκοσμίων, τότε αὐτ⟨ὰ⟩ λέγει. **Ἡμεῖς**, φησίν, ἐσμὲν **ὑπηρέται Χριστοῦ**· καὶ τὰ πλείονα μᾶλλον ὁ ἀπόστολος τῇ ὑπηρεσίᾳ τοῦ Χριστοῦ διηκονεῖτο ἤπερ τῇ οἰκονομίᾳ τῶν μυστηρίων τοῦ θεοῦ· ⟨οἰ⟩κονομεῖ δὲ **τὰ μυστήρια τοῦ θεοῦ** φέρε εἰπεῖν πρὸς Λουκᾶν ἵνα γράψαι τὸ εὐαγγέλιον δυνηθῇ, πρὸς Τιμόθεον ἵνα ἄρξαι τῶν ἐν Ἐφέσῳ πλείονα παρειληφότων οἷός τε γένηται ⟨καὶ⟩ οἰκονομεῖν **τὰ μυστήρια τοῦ θεοῦ**. τολμῶ δὲ καὶ λέγω ὅτι ἐν Κορίνθῳ μὲν ὑπηρέτης γέγονε τοῦ Χριστοῦ, ἐν Ἐφέσῳ δὲ οἰκονόμος μυστηρίων θεοῦ.

Μαθὼν δὲ ἀπὸ τῶν τοῦ Σωτῆρος λόγων ὁ Παῦλος τὸ ΤΊϹ ἌΡΑ Ὁ ΠΙϹΤῸϹ ΚΑῚ ΦΡΌΝΙΜΟϹ ΟἸΚΟΝΌΜΟϹ ὋΝ ΚΑΤΑϹΤΉϹΕΙ Ὁ ΚΎΡΙΟϹ ἘΠῚ ΤΗ͂Ϲ οἰκίας ΑΥ̓ΤΟΥ͂ ΤΟΥ͂ ΔΙΔΌΝΑΙ ἘΝ ΚΑΙΡΩ͂Ι τὸ ϹΙΤΟΜΈΤΡΙΟΝ τοῖς συνδούλοις αὐτοῦ, φησὶν **Ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ**. οὔτε γὰρ ἀρκεῖ τὸ ἐγνωκέναι οὔτε δεῖ τὸν ἐγνωκότα ὡς ἔτυχεν λέγειν, ἀλλὰ νοοῦντα τὸ ἘΝ ΚΑΙΡΩ͂Ι ΔΙΔΌΝΑΙ τὸ ϹΙΤΟΜΈΤΡΙΟΝ τοῖς συνδούλοις αὐτοῦ βλέπειν τίς τῶν συνδούλων ὀφείλει λαβεῖν πλεῖον ϹΙΤΟΜΈΤΡΙΟΝ **μυστηρίων θεοῦ** ἢ ἔλαττον, καὶ πότε· ἐὰν γὰρ καλῶς τὴν οἰκονομίαν καὶ ἀμέμπτως διοικήσ⟨ῃ⟩, ποίαν ἔχει ἐπαγγελίαν; Ἐπὶ ΠΑ͂ϹΙ φησὶ ΤΟΙ͂Ϲ ὙΠΆΡΧΟΥϹΙΝ

72 ὁ οἰκοδεσπότης ΚΑΤΑϹΤΉϹΕΙ ΑΥ̓ΤΌΝ. εἰ δὲ Παῦλος φοβεῖται καὶ λέγει ταῦτα περὶ ἑαυτοῦ καὶ περὶ Κηφᾶ καὶ Ἀπολλώ, πόσῳ μᾶλλον τοὺς καθ' ἡμᾶς οἰκονόμους δεήσει φοβεῖσθαι ὅπως εὑρεθῶσι πιστοὶ οἰκονόμοι.

Εἶτα περὶ ἑαυτοῦ φησιν **Ἐμοὶ δὲ εἰς ἐλάχιστόν** ἐστιν **ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας**. οἱ ἐν Κορίνθῳ ἀνέκρινον τὸ ὅσον ἐφ' ἑαυτοῖς, οὐκ ἀληθῶς ἀνακρίνοντες. ἀνακρίνοντος γὰρ ἦν τὸ λέγειν ὅτι Κρείττων ἐστὶν ὁ Παῦλος Κηφᾶ καὶ Ἀπολλώ, καὶ ἄλλου τὸ λέγειν Ὁ Πέτρος πολλῷ διαφέρει τοῦ Παύλου· ἐν γὰρ τῷ εὐαγγελίῳ Παῦλος οὐκ εἴρηται ἀπόστολος. φησὶν οὖν ὁ Παῦλος ὅτι **Ἐμοὶ εἰς ἐλάχιστόν** ἐστιν **ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ**. συνῄδει ἑαυτῷ τὰ κάλλιστα καὶ ὅτι οὐχ ὑπέπιπτεν Κορινθίοις ὡς δυναμένοις

XVIII 4–5. 1 Cor. xiii 2    17 ff. Lc. xii 42

XVIII 6 f. . . . *διακονίαν προστους ο δὲ οἰκονόμους* [-*ος* corr.] . . . *μυστήρια. ἵνα μὴ* . . . MS   10. *αὐτὰ* scripsi : *τότε αυτη λέγει* MS   12. fortasse *οἰκονομεῖ* MS : *ῳκονόμει*   13. fortasse *ἄρξας*   14. *καὶ* suppleui : om. MS   15. *τολμῶν* Armitage Robinson (sed vide *Hom. in Hierem.* ed. Klostermann xix p. 174)   24. *διοικήσωσι* MS   *ἔχειν* MS   *ἐπαγγελίαν* in marg. m. 2 : *ἀπολογίαν* MS.   29. *ἀνέκρινον τὸ* (cf. XVI 30 *supra*) Turner : *ἀνεκρίνοντο* MS

αὐτὸν ἀνακρῖναι, ὁ γὰρ πνευματικὸς ἀνακρίνει τὰ πάντα αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται· ὥσπερ ἀλλαχοῦ φησι Γέγονα ἄφρων· ὑμεῖς με ἠναγκάσατε· τοιοῦτόν τι καὶ ἐνθάδε νοήσας λέγει. ἔστι τις **ἀνθρωπίνη ἡμέρα**, καὶ ἔστι τις θεία ἡμέρα, περὶ ἧς γέγραπται μυρία ὅσα καὶ τὸ Ἰδοὺ ἡμέρα κυρίου ἀνίατος ἔρχεται. ἡ οὖν ἀνάκρισίς μου, φησίν, οὐ δύναται γενέσθαι ἐν ἀνθρωπίνῃ ἡμέρᾳ, οὐ χωρεῖ γὰρ ἀνθρωπίνη ἡμέρα τὴν ἀνάκρισίν μου· εἰ ἀνακρίνεσθαι μέλλω, ἐν τῇ τοῦ **κυρίου** ἡμέρᾳ ἀνακριθήσομαι.

Εἶτα παραδοξότερόν τι ἑαυτῷ συνειδὼς λέγει **Ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα.** πολὺ ἐνταῦθα τὸ συνειδὸς τοῦ ἀποστόλου φαίνεται καθαρὸν γεγονέναι, ὥστε αὐτὸν τολμῆσαι οὐ μόνον τοῖς τότε γράψαι ἀλλ' ἵνα καὶ αἱ μέχρι συντελείας γενεαὶ ἀναγινώσκωσι τὸ λεγόμενον. ἀληθὴς οὖν ὁ Παῦλος λέγων Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ· πῶς δὲ Χριστὸν ἐμιμήσατο Παῦλος, ἄκουε· Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ ἔχει οὐδέν· καὶ ὁ Παῦλος φησὶν **Οὐδὲν ἐμαυτῷ σύνοιδα**· καὶ οὐκ εἶπεν Οὐδὲν ἐμαυτῷ σύνοιδα ἔργον φαῦλον· εἰ γὰρ τοῦτο εἰρήκει, ἐδυνάμεθα λέγειν ὅτι τοῖς μὲν ἔργοις κεκάθαρται τοῖς δὲ λόγοις οὐδέπω· ἢ πάλιν, τούτοις μὲν κεκάθαρται ἡ δὲ καρδία αὐτοῦ ἡμάρτανεν. νῦν δὲ ἔοικεν εἰς ὑπερβολὴν συνειδέναι ἑαυτῷ καθαρότητα, οὐ πρώην ὅτε ἐδίωκεν ἢ ὅτε προσῆλθεν τῇ πίστει ἀλλὰ νῦν ὅτε ταῦτα ἔλεγεν.

Εἶτα ἵνα μὴ δόξῃ ὑπὲρ ἄνθρωπον λελαληκέναι, ἐπιφέρει καὶ λέγει **Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι**· ἐγὼ μὲν γάρ φησιν **οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι.** ἐνδέχεται γὰρ ἐμὲ μηδὲν ἐμαυτῷ συνειδέναι 73
λανθάνειν δέ με ἡμαρτημένον τί μοι· πολλὰ γὰρ γίνεται ἐν τῇ ἀνθρωπίνῃ φύσει τοιαῦτα ὥστε ἁμαρτάνειν ⟨οὐ⟩ κατὰ τὸν λόγον, οὐ μετὰ τοῦ καταλαμβάνειν ἢ κατὰ τὴν συγκατάθεσιν, οὐ μετὰ το⟨ῦ⟩ θεωρεῖν ὅτι ἡμάρτομεν. ἐκεῖνος οὖν ὁ ἐν πᾶσι μηδὲν ἑαυτῷ συνειδὼς φησὶν **Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι, ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν.**

Ὡς γὰρ ὑπερβὰς τὴν ἀνάκρισιν τὴν ἀγγελικὴν καὶ τὴν τῶν ἄλλων δυνάμεων, τοῦτό φησιν **Ἕως ἂν ἔλθῃ ὁ κύριος.** ἐπεὶ οὖν κρίσις ἐπίκειται, καὶ ἀληθινή γε ἐστὶν ἐκείνη μόνη ἡ τοῦ κυρίου ἐπισταμένου καὶ τοὺς λογισμοὺς σταθμῆσαι καὶ ἐν ζυγῷ στῆσαι τοὺς λόγους καὶ ἐρευνῆσαι πάσας τὰς πράξεις καὶ ἐφ' ἑκάστῳ ἡμῶν τὸ δέον ἀποδοῦναι, διὰ τοῦτο κἂν καταγινώσκωμέν τινος μὴ κατακρίνωμεν· οὐ γὰρ ἴσμεν ᾧ μέτρῳ ἥμαρτεν, οὐδὲ οἴδαμεν οἵᾳ διαθέσει ἥμαρτεν καὶ εἰ ἔχει ἀντίρροπα χρηστὰ τῇ ἁμαρτίᾳ αὐτοῦ. ἐὰν γὰρ εὐλαβεῖς γενώμεθα, οὐ **πρὸ καιροῦ τι** κρινοῦμεν, ἀλλὰ πάντα ἀναθήσομεν τῇ κρίσει τοῦ θεοῦ διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐνθάδε μὲν λέγεται **Μὴ πρὸ καιροῦ τι κρίνετε** καὶ τὰ ἑξῆς· ἐν ἄλλῳ δὲ τόπῳ 74

35. 1 Cor. ii 15  36. 2 Cor. xii 11  38. Is. xiii 9  46. 1 Cor. xi 1; cf. iv 16  47. Io. xiv 30  65. Cf. Sir. xxi 25

71–2. These two passages are separated in the MS by quotations from Theodoret and Severian, but there is no fresh lemma.

58. rasura est 2 litterarum post *ἁμαρτάνειν* : sc. *οὐ* ut opinor  59. *τὸ* MS
64. *ἐκείνη ἡ μόνη* MS

τῆς ἐπιστολῆς Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε, τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ· ἆρ' οὖν ἐναντιώματα ἔχουσιν αἱ γραφαί, καὶ δεῖ ἡμᾶς κρίνειν καὶ μὴ κρίνειν κατὰ τὸ αὐτὸ τῆς κρίσεως σημαινόμενον; ἐὰν μὴ τοὺς ἔσω κρίνητε οἱ πεπιστευμένοι κρίνειν τοὺς ἔσω, ἡ ἐκκλησία μέλλει ἀντὶ ἐκκλησίας θεοῦ γίνεσθαι συναγωγὴ πονηρευομένων· εἶτα τῶν ἔσω κρινομένων, πῶς ἀληθές ἐστι τὸ Μὴ κρίνετε ἵνα μὴ κριθῆτε. φαμὲν οὖν Οἱ πεπιστευμένοι κρίνειν τοὺς ἔσω οὐχ οὕτως εἰσὶν ἀνόητοι ὡς κρίνοντες τοὺς ἔσω λέγειν ὅτι Τὴν κρίσιν τοῦ θεοῦ κρίνομεν, ἀλλὰ πρὸς τὴν οἰκονομίαν τοῦ συμφέροντος τῇ ἐκκλησίᾳ τὴν κρίσιν ποιοῦνται. εἰ συμφέρει τόνδε ἀποσυνάγωγον εἶναι κρίναντ⟨ε⟩ς αὐτὸ ποιοῦσιν· καὶ πάλιν πρὸς τὸ συμφέρον ⟨παρα⟩στήσονται, οὐ τὴν τοῦ θεοῦ κρίνοντες κρίσιν ἀλλὰ τὴν δεδομένην αὐτοῖς· τὴν γὰρ κρίσιν ἣν ὁ θεὸς κρινεῖ ἐν Χριστῷ ἀμήχανόν ἐστι κρίνειν ἡμᾶς· οὔτε γὰρ καρδίας ἐρευνῶμεν οὔτε οἴδαμεν οἷς λογισμοῖς τὰ πεπραγμένα ἑκάστῳ πέπρακται. τὰ κρυπτὰ γὰρ κυρίῳ τῷ θεῷ παραχωροῦσιν οἱ κριταὶ οἱ κατὰ τὸ εὐαγγέλιον, τὰ δὲ φανερά, ὡς εἴρηται, ὑμῖν καὶ τοῖς τέκνοις ὑμῶν· ὅσα ἔφθασεν εἰς αὐτοὺς καὶ γνωστά ἐστιν ἐν αὐτοῖς, ταῦτα κρίνουσιν. μηδέποτε οὖν τὴν κρίσιν τοῦ θεοῦ προλαβόντες λέγωμεν Ὁ δεῖνα ἀπόλλυται, ἢ μακαρίζοντες λέγωμεν Ὁ δεῖνα σώζεται· οὐδὲ γὰρ ἀντιμετρεῖν καὶ ἀντεξετάζειν ἴσμεν τὰς πράξεις ταῖς πράξεσιν ἢ λογισμοὺς ἢ ἐνθυμήματα. **Μὴ πρὸ καιροῦ οὖν τι κρίνετε ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν.**

Δύο δὲ λεγομένων πραγμάτων ὀφείλει τις εἶναι τούτων διαφορά· ἃ μὲν γὰρ ὠνόμασε **κρυπτὰ σκότους**, ἃ δὲ **βουλὰς καρδιῶν**. ὅρα οὖν μὴ τὰ ἁμαρτήματα ἡμῶν **κρυπτὰ σκότους** ἐστίν, τὰ δὲ ἀνδραγαθήματα **βουλαὶ τῶν καρδιῶν**· ὅσα γὰρ καλῶς πράττομεν μετὰ βουλῆς πράττομεν, ὅσα δὲ ἁμαρτάνομεν ἐν σκότῳ ὄντες ἁμαρτάνομεν. ἐπειδὴ τοίνυν τινὲς ἢ ταῦτα ἔχουσιν ἢ ἐκεῖνα, ταῦτα δὲ ἄνθρωπος οὐκ οἶδεν, **μὴ πρὸ καιροῦ τι** κρίνωμεν **ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ** ἀποκαλύψει **τὰς βουλὰς τῶν καρδιῶν**· δεῖ γὰρ τοὺς πάντας ἡμᾶς φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον. εὗρον εὐαγγελικὸν ⟨ῥητὸν⟩ παραπλησίως τούτῳ διηγήσασθαι· Οὐδὲν κρυπτὸν ὃ οὐ φανερωθήσεται καὶ κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται· ὁρᾷς τὸν Σωτῆρα διδόντα διαφορὰν κρυπτῶν φανερουμένων καὶ κεκαλυμμένων ἀποκαλυπτομένων. τίνα οὖν ἐστὶ τὰ κρυπτὰ καὶ φανερούμενα ἢ τὰ καλά; καὶ τίνα τὰ κεκαλυμμένα καὶ ἀποκαλυπτόμενα ἀλλ' ἢ τὰ κακά;

Εἴποι τις ἂν τῶν πάντα ἐρευνώντων Διὰ τί οὐκ εἶπεν Καὶ τότε ὁ ἔπαινος γενήσεται ἢ ὁ ψόγος ἑκάστῳ ἀπὸ τοῦ θεοῦ, ἀλλὰ μόνον **ὁ ἔπαινος**. ὁ μὲν

XVIII 72. 1 Cor. v 12   75–6. Ps. xxi 17   76–7. Matt. vii 1   84. Deut. xxix 29 [28]   99 ff. 2 Cor. v 10   102. Matt. x 26; cf. Mc. iv 22

XVIII 80. *κρίναντος* MS   81. *προστήσονται* MS   83. *οὔτε γὰρ καρδίας ἐρευνῶμεν οὔτε οἴδαμεν οἷς κτλ.* scripsi: *οὔτε γὰρ οἴδαμεν οὔτε καρδίας ἐρευνῶμεν οὔτε οις* MS   rasura est 3 litt. ante *οις*: (*sic*) *ποίοις*, ut suspicor, m. p.   96. *σκότω* MS recte, ut uidetur, secundum usum Origenis   101. *εὐαγγελικὸν* MS: *ῥητὸν* suppleui (cf. *c. Cels.* i 62 ed. Koetschau)

οὖν τις οὕτω διηγήσεται ὅτι τὸ εὐφημότερον προσῆψεν τῷ θεῷ, παρασιωπήσας τὸ λοιπὸν ὡς οὐχ ἁρμόζον αὐτῷ· ἐγὼ δὲ τολμήσω καὶ εἴποιμ᾽ ἂν ὅτι τὰ μὲν ἀγαθὰ ἐπαινεῖ καὶ ἀποδέχεται ὁ θεός, τὰ δὲ κακὰ ἡμῶν ὁ τῶν κακῶν πατὴρ ὁ διάβολος· **καὶ ὁ μὲν ἔπαινος ἀπὸ τοῦ θεοῦ** τοῖς ἁγίοις, ὁ δὲ ψόγος τοῖς ἄξια ψόγου πεποιηκόσιν ἀπὸ τοῦ διαβόλου γίνεται. διὰ τοῦτο λέγεταί σοι παρὰ τῷ ἀποστόλῳ, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων λέγειν περὶ ἡμῶν φαῦλον.

## § XIX.

iv 6–8 [**ταῦτα δὲ ἀδελφοὶ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι᾽ ὑμᾶς ἵνα ἐν ἡμῖν μάθητε τὸ Μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς [μὴ] φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. τίς γάρ σε διακρίνει; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; ἤδη κεκορεσμένοι ἐστέ; ἤδη ἐπλουτήσατε; χωρὶς ἡμῶν ἐβασιλεύσατε; καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ⟨ἡ⟩μεῖς ὑμῖν συμβασιλεύσωμεν.**]

[Ὠριγένους]

Γέγραπται **ταῦτα**, φησίν, ἐν **μετασχηματισμῷ** τῷ κατὰ τὰ τότε 77 πράγματα, οὐχ ἵνα περὶ Παύλου καὶ Ἀπολλὼ ταῦτα γινώσκωμεν μόνον, ἀλλ᾽ ἵνα καθ᾽ ἑκάστην γενεὰν τὰ γινόμενα ἀνάλογον τούτοις προ⟨σ⟩ορῶντες ὀρθῶς προσέχωμεν μήποτε καὶ αὐτοὶ ἐμπέσωμεν εἰς τὰ τοιαῦτα καὶ ὡς ἐν θεάτροις τοῖς διασχιζομένοις περὶ τὰ ἀκροάματα διασχιζ⟨ώμεθα⟩ περὶ τοὺς διδασκάλους.

Ἀλλ᾽ ἴδωμεν τὸ **Ἵνα ἐν ἡμῖν μάθητε τὸ Μὴ ὑπὲρ ὃ γέγραπται.** ἐάν τις ἕξιν ἔχων ὑποδεεστέραν πρὶν πληρῶσαι τὰ γεγραμμένα θέλει ἀναβῆναι εἰς τὰ **ὑπὲρ ἃ γέγραπται**, οὐδὲ νοήσει ἃ γέγραπται. ὥσπερ γὰρ κλίμακα οὐχ οἷόν τέ ἐστιν ἀναβῆναί τινα μὴ ὁδῷ ἀναβαίνοντα ἀπὸ τῶν κατωτέρω κατὰ τὸ δυνατόν, τὸν αὐτὸν τρόπον ἐπὶ τῶν μαθημάτων τῶν θείων. τοῦτο μὴ καλῶς νοήσαντες οἱ ἀπὸ τῶν αἱρέσεων ἐπαγγέλλονται παραδόσεις καὶ λέγουσιν Αὗτ⟨α⟩ι ὑπὲρ τὰ γεγραμμένα εἰσίν· ταύτας γὰρ παρέδωκεν ὁ Σωτὴρ ἡμῶν τοῖς ἀποστόλοις ἐν ἀπορρήτῳ, καὶ οἱ ἀπόστολοι τῷ δεῖνι ἢ τῷ δεῖνι· καὶ οὕτως διὰ ταύτης τῆς μυθολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. οἱ δὲ λοιποὶ φασὶν Γέγραπται Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου τὴν δὲ ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ κατανοεῖς· καὶ Μὴ κρίνετε ἵνα μὴ κριθῆτε. εἰ γάρ ἐσμεν ἓν καὶ συνδεδέμεθα ἀλλήλοις, ἐπανίστασθαι ἀλλήλοις οὐ χρή. Ὁ ταπεινῶν γὰρ ἑαυτὸν ὑψωθήσεται καὶ Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος ἔστω 78 πάντων ἔσχατος καὶ Ἕκαστος ἐν ᾧ ἐκλήθη ἐν τούτῳ μενέτω.

110. Io. viii 44  113. Tit. ii 8  XIX 16. Rom. xvi 18  17. Matt. vii 3  18. Matt. vii 1  19. Cf. Gal. iii 28  20. Lc. xviii 14; Mc. ix 35  21. 1 Cor. vii 24

XIX 8 ff. Cf. for another discussion and application of the words Ὑπὲρ ἃ (*sic*) γέγραπται Origen's Comm. *in Ev. Ioh.* iv 5–6 (ed. Preuschen p. 230).

XIX 3. γινώσκομεν MS  4. προσορῶντες ut uid. m.p.: προορῶντες corr. male  6. διασχιζώμεθα Turner: διασχίζονται MS  14. αὐτοὶ MS

Ταῦτά ἐστι καὶ τὰ τοιαῦτα ἃ γέγραπται, ἵνα **ὑπὲρ τοῦ ἑνὸς μὴ φυσιοῦσθαι κατὰ τοῦ ἑτέρου**· οἱ γὰρ ἑαυτοὺς διανείμαντες, καὶ οἱ μὲν ἐκ τούτου οἱ δὲ ἐξ ἐκείνου καλεῖσθαι βουληθέντες, ἀλλήλοις διεμάχοντο, τοὺς σφετέρους ἕκαστοι διδασκάλους ὑπερτιθέναι τῶν ἄλλων φιλονεικοῦντες, εἶτα πρὸς αὐτοὺς λοιπὸν τοὺς διδασκάλους. **Τίς γάρ σε διακρίνει;** τίς σε μέρους ἐχειροτόνησεν; διὰ τί μὴ πάντων διδάσκαλος ὁμοίως καλῇ; **τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες;** ἐπὶ τίνι δὲ μέγα φρονεῖς; ἐπ' εὐγλωττίᾳ; ἀλλ' ὁ θεός σοι ταύτην κεχάρισται. ἀλλ' ἐπὶ γνώσει; καὶ τοῦτο θεῖον τὸ δῶρον. ἀλλ' ἐπὶ θαυματουργίαις; καὶ ταύτῃ τοῦ πνεύματος ἡ ἐνέργεια. **εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;** οὐδεὶς ἐπ' ἀλλοτρίαις παρακαταθήκαις μέγα φρονεῖ, ἐπαγρυπνεῖ δὲ ταύταις ἵνα φυλάξῃ τῷ δεδωκότι.

Δεήσει ἀπὸ τῶν γραφῶν συνάγειν τί σημαίνει τὸ **διακρίνειν**, ἵν' οὕτως ἐφαρμόσωμεν τοῖς νῦν λεγομένοις. Ὁ θεὸς ἔστη φησὶν ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· ἐν τούτῳ φαίνεται ἔργον θεοῦ τὸ διακρίνειν· ἄλλου γὰρ ὄντος τοῦ κρίνειν, ὅπερ συμβαίνει περὶ τοὺς ἀξίους κρίσεως, ἀγαθόν ἐστι τὸ ἐν συναγωγῇ θεῶν εὑρεθῆναι θεόν, ἵνα μηκέτι κριθῇ τις ἀλλὰ διακριθῇ καὶ οἱονεὶ τάξιν πιστευθῇ μίαν τινὰ ὧν πιστεύονται οἱ ἐν συναγωγῇ θεοί. ἀλλὰ καὶ ἐν τῷ Προφῆται δύο ἢ τρεῖς λαλείτωσαν καὶ οἱ ἄλλοι διακρινέτωσαν ἔοικεν τὸ διακρίνειν ἐκεῖ ἐπὶ τοῦ διαρθροῦ⟨ν⟩ λαμβάνειν οἱονεὶ Τρανούτωσαν τὰ λεγόμενα καὶ διακρινέτωσαν καὶ νοείτωσαν. ἐν δὲ τῷ Ὁ διακρινόμενος ἐὰν φάγῃ κατακέκριται ὅτι οὐκ ἐκ πίστεως, τὸ διακρινόμενος φαίνεται ὅτι ἐπὶ ψόγου λέλεκται. καὶ πάλιν Προσλαμβάνεσθε ἀλλήλους, μὴ εἰς διακρίσεις διαλογισμῶν ἁμαρτάνοντ⟨ε⟩ς· εὑρέθη τοίνυν ἀπὸ τῆς γραφῆς ἡ λέξις ὅτε μὲν ἐπὶ τῶν κρειττόνων τεταγμένη ὅτε δὲ ἐπὶ τῶν ἐναντίων. ἐνθάδε οὖν λέγεται τὸ **διακρίνειν** ἀντὶ τοῦ **Σὲ** μὲν οὐδεὶς **διακρίνει** τῶν ἐν Κορίνθῳ οὐδὲ κρίνει· σὺ δὲ διακρίνεις οἰκονόμους μυστηρίων θεοῦ, καὶ λέγεις Ἐγώ εἰμι Παύλου καὶ φάσκεις Ἐγὼ Κηφᾶ ἢ φῂς Ἐγώ εἰμι Ἀπολλώ. θεοῦ ἔργον ἐστὶ τὸ διακρίνειν τοὺς ἀποστόλους, οὐ σόν. ὥσπερ οὖν οὐ χρή σε κρίνειν, οὐδὲ διακρίνειν τοὺς ὑπηρέτας τοῦ εὐαγγελίου· ἐν τῇ γὰρ διακρίσει ᾗ διακρίνεις τοὺς ἀποστόλους αὐτὸς σαυτὸν διακρίνεις καὶ χωρίζεις ἁμαρτάνων. Χριστὸς γὰρ ἦλθεν τὰ διακεκριμένα ἑνῶσαι, ἵνα μηκέτι ἦμεν διῃρημένοι. ἐὰν τελειωθῶμεν ὥστε τὴν σάρκα μηκέτι ἐπιθυμεῖν κατὰ τοῦ πνεύματος τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, τῷ νενεκρῶσθαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, οὐκέτι ἐσόμεθα ἐν διακρίσει ἀλλ' οἱονεὶ ἐν συγκράσει καὶ τῇ ἐπὶ τὸ αὐτὸ συναγωγῇ ἡμῶν.

XIX. 35. Ps. lxxxi (lxxxii) 1    40. 1 Cor. xiv 29    42. Rom. xiv 23    44. Rom. xiv 1    47. 1 Cor. iv 1; ib. iii 4    50. 1 Cor. iv 1    51–2. Cf. Eph. ii 14    53. Gal. v 17    52–4. Col. iii 5    54–5. Cf. 1 Cor. vii 5

XIX 33–4. Two extracts from Severian and Chrysostom are interpolated between these two passages, but there is no fresh lemma.

XIX. 27. *μέρους* MS : + *διδάσκαλον* Turner    30. leg. fortasse *θεῖόν τι δῶρον*    41. *διαρθροῦν* Turner : *διάρθρον* MS    44. *ἁμαρτάνοντες* scripsi (cf. *ἁμαρτάνων infra* l. 52) : *ἁμαρτάνοντος* MS    55. rasura est 2 litt. ante *γῆς*

Νοείσθω δὲ καὶ ἁπλούστερον ἐπὶ διαφόρων σχισμάτων.

Ἴδωμεν δὲ καὶ τὸ **Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες;** ἀμφίβολος γὰρ ἡ λέξις· δύναται γὰρ νοεῖσθαι ὅτι πᾶν κτῆμα ὃ ἔχομεν λαβόντες ἀπὸ θεοῦ ἔχομεν, καὶ πάλιν Τί προσποιῇ ἔχειν ὃ μὴ ἔλαβες; οἷον ἐάν τις μὴ λαβὼν χάρισμα ἄνωθεν παρὰ θεοῦ προσποι⟨ῆ⟩ται ἐν χαρίσματι εἶναι, λέγεται πρὸς τὸν τοιοῦτον μὴ λαβόντα **Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;**

**ἤδη κεκορεσμένοι ἐστέ; ἤδη ἐπλουτήσατε; χωρὶς ἡμῶν ἐβασιλεύσατε;** Ὁ πεινῶν καὶ διψῶν τὴν δικαιοσύνην ⟨τὴν⟩ τῶν λογίων τῆς ἀληθείας οὐκ ἀρκεῖται ἑνὶ διδασκάλῳ, ἀλλ' ἐὰν εὕρῃ δεύτερον συγχρῆται καὶ τούτῳ, ἀκορέστως γὰρ ἔχει τῶν καλῶν· ἐὰν καὶ τρίτου εὐπορήσῃ, γίνεται καὶ παρὰ τὸν τρίτον· οὐκ ἀποδιελὼν ἑαυτῷ ἕνα λέγει Ἐγώ εἰμι Παύλου ἢ Κηφᾶ ἢ Ἀπολλώ. ἐπεὶ οὖν ἐμφαίνει τὸ κεκορέσθαι τ⟨ό⟩ν, πλειόνων ⟨ὄν⟩των διδασκάλων καὶ Παύλου διδάσκοντος καὶ Κηφᾶ καὶ Ἀπολλώ, ἑνὶ προσκλινόμενον μὴ ὠφελεῖσθαι ἀπὸ πάντων, διὰ τοῦτο λέγει Κορινθίοις **Ἤδη κεκορεσμένοι ἐστέ;** ἀκόλουθον δὲ τούτῳ τὸ **Ἤδη ἐπλουτήσατε;** οἷον Συνηγάγετε τὸν πλοῦτον τὸν ἀπὸ τῶν μαθημάτων τῶν ἀπὸ Παύλου καὶ οὐκέτι χρῄζετε τῶν ⟨ἀπ'⟩ Ἀπολλὼ ἢ τῶν ἀπὸ Κηφᾶ; ἢ πάντων καταφρονεῖτε, ὡς ἐμπεφορημένοι καὶ πλουτοῦντες ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει· ἀκολούθως δὲ καὶ τὸ **Χωρὶς ἡμῶν ἐβασιλεύσατε;** ἐμὲ γὰρ τὸ ὅσον ἐφ' ὑμῖν ἀπεχωρίσατε τῆς βασιλείας καὶ ἑαυτοὺς δέ, ἀπὸ τῶν λοιπῶν ἑνί τινι προσκλιθέντες· καὶ οὐ λέγει χωρὶς ἐμοῦ ἀλλ' ἡμῶν, ἵνα ἐμπεριλάβῃ καὶ κοινὸν αὐτὸ ποιήσῃ·

**καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.** Ἅμα δὲ τάχα καὶ μυστήριόν τι ὑποβάλλει κατὰ τὸν τόπον. οἱ γὰρ ὑποδεέστεροι τάχιον ἐν τῇ ἐπαγγελίᾳ γίνονται, οἱ δὲ τελειότεροι βράδιον ἀπολαμβάνουσι τὰς ἐπαγγελίας· καὶ τοῦτο ἀπὸ γραφῆς δείξω· οἱ ὑπὸ τῷ Μωσῇ κληροδοτούμενοι πρῶτοι εἰλήφασι τὴν ἐπαγγελίαν, οἱ δὲ ὑπὸ τῷ Ἰησοῦ κληροδοτούμενοι ὕστερον εἰλήφασιν· ἀλλὰ καὶ περὶ πάντων τῶν δικαίων λέγεται τὸ Οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν. διὰ τοῦτό φησιν **χωρὶς ἡμῶν ἐβασιλεύσατε; καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.** ὅταν γὰρ ὑμεῖς οἱ μαθηταὶ καὶ ἀκροαταὶ βασιλεύσητε, τότε ἀναγκαῖόν ἐστι καὶ ἡμᾶς καταντῆσαι ἐπὶ τὴν τοῦ θεοῦ καὶ κυρίου Ἰησοῦ τελείαν βασιλείαν.

62. Matt. v 6   66. 1 Cor. iii 4   73. 1 Cor. i 5   80 f. Cf. Heb. ix 15
83 f. Heb. xi 39–40   87. Cf. Eph. iv 13

58. εἴδωμεν MS   61. προσποιεῖται MS   65. τὴν τῶν scripsi : καὶ τῶν MS fortasse τῆς Ἀληθείας   69. τὸ κεκορέσθαι τῶν πλειόνων [lacuna 2–3 litt.] τῶν διδασκάλων MS : τὸ κεκ. πλειόνων τῶν διδασκάλων Swete : τὸ κεκ. τὸ τόν, πλειόνων ὄντων διδασκάλων κ.τ.λ. Turner : fortasse τῷ κεκ. τόν, πλειόνων ὄντων διδασκάλων κ.τ.λ.
74. ἀπ' Ἀπολλώ Turner : Ἀπολλῶ MS per incuriam   75. τοῦ MS

## § XX.

iv 9–10 [**δοκῶ γάρ, ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους. ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.**]

[Ὠριγένους]

*Ὅσῳ τις ἐπιδικάζεται τῶν ἀληθινῶν καὶ ἐπουρανίων πρωτείων, τοσούτῳ ἀπὸ τῆς ταπεινοφροσύνης* **ἔσχατος** *γίνεται πάντων ἀνθρώπων· οἶμαι καὶ τοιοῦτόν τι τὸν ἀπόστολον νενοηκότα εἰρηκέναι* Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁ⟨γί⟩ων ἐδόθη ἡ χάρις αὕτη. *οὐχ ὅτι κατὰ τὸν ἁγιασμὸν ἐλάττων ἦν* πάντων ἁγίων· *τοῦτο γὰρ οὔτε ἐφρόνει οὔτε εἰ ἔλεγεν ἠλήθευεν· ἀλλ' ἐπὶ πάντων τῶν πιστευόντων ταπεινότερον ἑαυτὸν ἐποίει, γενόμενος* ἤπιος ἐν μέσῳ *πάντων,* ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα. *ἐπεὶ οὖν ἐπετήδευον οἱ ἀπόστολοι* **ἔσχατοι** *εἶναι τῇ ἑαυτῶν προαιρέσει, παντὶ δὲ ἐπιτηδεύματι καλῷ, ἐὰν μὴ μαρτυρήσῃ ὁ θεὸς καὶ πληρώσῃ τὸ βούλημα τοῦ ἐπιτηδεύοντος, οὐκ ἀκολουθεῖ τὸ ἀγαθὸν τέλος διὰ τοῦ ἐπιτηδεύοντος· διὰ τοῦτο τυχὸν εἴρηκεν ὁ ἀπόστολος* **Δοκῶ γάρ, ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους**· *εἰ γὰρ καὶ ἐγώ, φησίν, πεποίηκα καὶ οἱ ἀπόστολοι ἵνα* **ἔσχατοι** *γινώμεθα, ἀλλ'* **ἀποδείξεως** *ἐδεόμεθα καὶ τῆς ἀπὸ θεοῦ χάριτος ἵνα τελειωθῶμεν ἐν τῷ ἔσχατοι εἶναι τῷ* **κόσμῳ**. *τὸ δὲ* **Δοκῶ** *ὥσπερ ἀλλαχοῦ εἶπεν* Δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν.

*Ἁρμόζον δὲ καὶ τοῖς ἀπὸ θεοῦ* **ἀποδεδειγμένοις ἐσχάτοις** *τὸ γενέσθαι πρώτοις παρὰ τῷ θεῷ· ἀληθὲς γὰρ ὅτι* οἱ ἔσχατοι *γίνονται* πρῶτοι. *ἁρμόζει δὲ αὐτοῖς καὶ τὸ εἶναι* **ἐπιθανατίους**. *ὅσῳ γάρ τις τελειότερον χριστιανίζει, τοσούτῳ μᾶλλον ἐπιθανάτιός ἐστιν. πότε γὰρ οὐ κινδυνεύει, ἐλέγχων τὸν ἁμαρτάνοντα πολλάκις ἰσχυρότερον ὑπάρχοντα ἐν τῷ βίῳ καὶ κολάσαι δυνάμενον, ἐπιδημῶν τόποις* ὅπου *οὐκ* ὠνομάσθη Χριστός, *καὶ τιθεὶς θεμέλιον ξενίζοντα καὶ ταράσσοντα τοὺς ἀκούοντας; ἀληθῶς γὰρ ἔλεγεν ὁ Παῦλος* Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. *ἀλλ' ὑποφαίν⟨ε⟩τ⟨α⟩ί μοι ἐρευνῶντι τὸν λόγον διχῶς δύνασθαι τὸν* **ἐπιθανάτιον** *λαμβάνεσθαι· καθ' ἕνα μὲν τὸν εἰρημένον τρόπον καθ' ὃν δεῖ* πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρειν· *καθ' ἕτερον δὲ* **ἐπιθανάτιός** *ἐστιν ὁ δίκαιος σύμμορφος ὢν τοῦ θανάτου τοῦ Χριστοῦ ἀεὶ ἀποθνήσκων τῷ κόσμῳ, οὕτω δὲ πρέπον ἐστὶ* **θεὸν ἀποδεικνύειν** *καὶ* **ἐσχάτους** *καὶ* **ἐπιθανατίους τοὺς ἀποστόλους** *τοῦ Χριστοῦ ὄντας.*

XX 4. Eph. iii 8  7. 1 Thess. ii 7  9. Cf. Heb. ii 4  15. 1 Cor. vii 40  18. Matt. xx 16 al.  22. Rom. xv 20  22. Cf. Act. xvii 20; 1 Cor. iii 11  23. 1 Cor. xv 31  25. 2 Cor. iv 10  28. Cf. Phil. iii 10

XX 4. *τῶν* MS  5. ⟨ἁγίων⟩ : *ἀνων* MS  11. *διὰ τοῦ ἐπιτηδεύοντος* MS, recte Swete, Nairne: *om.* *διὰ* uel leg. *διὰ τὴν ἀσθένειαν τοῦ ἐπιτηδεύοντος* Turner  25. *ὑποφαίνεταί* Turner: *ὑποφαίνοντί* MS

Εἶτα ἀναγκαῖόν ἐστιν ἰδεῖν τὸ ὅτι **θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις.** ἐὰν Παῦλος ἀγωνίζηται καὶ Πέτρος, οἱ ἄγγελοι τοῦ θεοῦ ἐπὶ τὴν καινὴν θέαν ταύτην ἐπείγονται ἵνα ἴδωσιν ἄνθρωπον σάρκα περιβεβλημένον παλαίοντα πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· καὶ οἱ ἄνθρωποι δὲ παρεγίνοντο καινὸν θέαμα ἰδεῖν, κήρυκα καὶ διδάσκαλον καινοῦ λόγου. οὕτως ὁ Παῦλος **θέατρον** ἦν ὅλων τῶν ἐπὶ γῆς καὶ τῶν ἀγγέλων τῶν εὐφραινομένων ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Εἶτα ὁ τηλικοῦτος ὡς **ἔσχατος** ἐν **κόσμῳ** ἐπιπλήσσει τοῖς πεφυσιωμένοις, καὶ φησὶ πρὸς αὐτοὺς **Ἡμεῖς μωροὶ διὰ Χριστόν.** Παῦλος γὰρ διδούς μοι ἐντολὴν καὶ λέγων Εἴ τις δοκεῖ ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γένηται σοφός, πολλῷ πλέον αὐτὸς ἐτήρει τὸ ἐν **κόσμῳ** τούτῳ **μωρὸς** γενέσθαι. πῶς γὰρ οὐκ ἦν ἐν τῷ **κόσμῳ** τούτῳ **μωρός**, καταγγέλλων τὸν ἐσταυρωμένον καὶ ἀνάστασιν νεκρῶν καὶ τὰ περὶ τοῦ μέλλοντος αἰῶνος, καὶ πείθων τοὺς ἀνθρώπους καταφρονεῖν τῆς παρούσης ζωῆς;

Εἶτα εἰρωνεί⟨ᾳ⟩ **Ὑμεῖς φρόνιμοι** φησὶν **ἐν Χριστῷ**· οὐ γὰρ ἦσαν ἀληθῶς **φρόνιμοι ἐν Χριστῷ**, ἀλλὰ ταῦτα λέγων εἰρωνικῶς προέτρεπεν αὐτοὺς γενέσθαι **φρονίμους ἐν Χριστῷ. Ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι**· οὐκέτι προσέθηκεν Ὑμεῖς ἔνδοξοι, ἐν Χριστῷ. ἐὰν γὰρ ἴδῃς πολλοὺς τῶν πιστεύειν δοκούντων ἔχοντας ἀξιώματα κοσμικά, λέγε πρὸς αὐτούς, ἐὰν σὺ ταπεινὸς ᾖς ἐν κόσμῳ, **Ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί**· οὐδὲν γὰρ ἀσθενέστερον ἀληθινοῦ χριστιανοῦ ὡς πρὸς τὸν κόσμον τοῦτον.

## § XXI.

iv 15 [**ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.**]

[Ὠριγένους]

Ταῦτα ἁπλούστατα δοκεῖ εἶναι καὶ μὴ δεόμενά τινος διηγήσεως· ἔχει δὲ 87
κεκρυμμένα νοήματα. οὐδεὶς ἀνὴρ παιδαγωγεῖται ἀλλ' εἴ τις νήπιος καὶ ἀτελής· καὶ οὐκ ἂν ἔγραφεν Ἐφεσίοις ταῦτα ἀλλὰ Κορινθίοις, πρὸς οὓς φησὶν Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε· ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε, ἔτι γὰρ ἐστε σαρκικοί. κἀγὼ οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. ἔτι δὲ καὶ τοῦτο κατανοητέον· ἐὰν καὶ δεώμεθα παιδαγωγοῦ, πάντως ὁ πεπιστευμένος τοῦτο παράδειγμα τὸν λόγον, τὸν βίον, διδότω τῇ ἡμετέρᾳ εὐταξίᾳ· ἔστιν οὖν πατὴρ μὲν ὁ πρώτως

34. Eph. vi 12 38. Lc. xv 10 39. 1 Cor. v 2; cf. iv 6 41. 1 Cor. iii 18 44. 1 Cor. i 23; Heb. vi 2, 4 XXI 5. 1 Cor. iii 2–3 6. 1 Cor. iii 1

XX 52. It might seem that Origen inverted these clauses, but there is no authority for the change. XXI 4. Cf. § xviii 15–16 *supra*.

47. εἰρωνεία MS XXI 7 ff. ἔτι δὲ . . . κατανοητέον ἐὰν καὶ . . . παιδαγωγοῦ· πάντως ὁ πεπιστευμένος. τοῦτο παράδειγμα . . . εὐταξία MS

*σπείρας τὸν χριστιανισμὸν ἐν ψυχῇ· παιδαγωγὸς δὲ ὁ μετὰ τοῦτον παραλαβὼν παῖδα καὶ ἄγων αὐτόν.*

[iv 16] **παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, μιμηταί μου γίνεσθε.**

Τοῦτ' *ἔστιν Ὡς μετριάζω, μετριάζετε· ὡς πάσχω, πάσχετε· ἀπὸ τῶν παθημάτων, μὴ ἀπὸ τῶν χαρισμάτων, σεμνύνεσθε.*

[iv 17] **διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον ὅς** ⟨*ἐστὶν*⟩ **τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Χριστῷ· ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.**

Καὶ *τὴν περὶ αὐτοὺς διάθεσιν ἔδειξε τὸν* Τιμόθεον *πέμψας, καὶ τὴν περὶ τὸν*
88 Τιμόθεον *φιλοστοργίαν* **τέκνον ἀγαπητὸν** *ὀνομάσας· καὶ τὴν ἄλλην δὲ αὐτοῦ δεδήλωκεν ἀρετὴν* **πιστὸν ἐν** Κυρίῳ *καλέσας.* Οὗτος, *φησί, τὰς ἐμὰς διηγήσεται πράξεις·* **ὁδοὺς** *γὰρ τὰς πράξεις καλεῖ. ταύτας δὲ οὐκ εἶπεν* Διδάξει, *ἀλλ' ὅτι* **ἀναμνήσει.** *λήθην δὲ αὐτῶν ὁ λόγος κατηγορεῖ· αὐτόπται γὰρ ἐγεγόνεσαν τῆς ἀποστολικῆς ἀρετῆς. προστέθεικεν δὲ ὅτι καὶ ταῖς ἐκκλησίαις πάσαις τήνδε προσφέρειν εἴωθεν τὴν διδασκαλίαν.*

Ταῦτα *κοινῇ πάντων κατηγορήσας κατὰ τοῦ πεπορνευκότος λοιπὸν ἐκφέρει τὴν ψῆφον.*

[iv 18] **ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες.**

Προειδὼς *αὐτοῦ τὴν μεταμέλειαν ὁ θεσπέσιος* Παῦλος *οὐ τίθησι τὴν προσηγορίαν, ἵνα μὴ πᾶσιν ἀνθρώποις κατάδηλος γένηται, ἀλλ' ἀορίστως ἔφη* **τινές.**

## § XXII.

iv 19–20 [**καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων ἀλλὰ τὴν δύναμιν, οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ ἀλλ' ἐν δυνάμει.**]

[Ὠριγένους]

**Λόγον** *μὲν φησὶ τὴν εὐγλωττίαν, ὡς καὶ ἑτέρωθι* εἰ καὶ ἰδιώτης τῷ λόγῳ ἀλλ' οὐ τῇ γνώσει· **δύναμιν** *δὲ τὴν ἀπὸ θεοῦ· ὅταν γὰρ ἀπὸ θεοῦ ᾖ ὁ λόγος, δύναμιν ἔχει, διὸ γέγραπται* Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. *καὶ* **δυνάμει** *μᾶλλον πεποιθότες οἱ ἀπόστολοι ἐπεδήμουν ταῖς ἐκκλησίαις καὶ ταῖς πόλεσιν, ἤπερ* **τῷ λόγῳ·** *οὐ γὰρ εἴ τις καλῶς φράζει, παρὰ τοῦτο τὴν βασιλείαν ἔχει τοῦ θεοῦ, ἀλλ' ὅπου* **δύναμις** *ἐν λόγοις, ἐκεῖ* **ἡ βασιλεία τοῦ θεοῦ,** *ἥτις καὶ τὴν ἐν ταῖς ψυχαῖς* βασιλεύουσαν ἁμαρτίαν *ἐξορίζει καὶ τὴν* τοῦ θεοῦ βασιλείαν ἐντὸς *ἡμῶν γενέσθαι παρασκευάζει.*

## § XXIII.

iv 21–v 2 [**τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραΰτητος; ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. καὶ ὑμεῖς**

XXII 2. 2 Cor. xi 6 4. Ps. lxvii (lxviii) 12 7. Rom. vi 12 7–8. Cf. Lc. xvii 21

XXI 12. *ἀδελφοί*: deest in lemmate 15. *ἐστὶν* deest in MS XXII 7. rasura est *ante θεοῦ* 1º

**πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.**]

[Ὠριγένους]

Οὐκ ἀεὶ οὔτε ὁ θεὸς οὔτε οἱ τούτου θεσπέσιοι μαθηταὶ κέχρηνται χρηστοῖς 90 λόγοις πρὸς τοὺς ἀκούοντας οὐδὲ ἀεὶ τοῖς ἀποτόμοις, ἀλλὰ ποτὲ μὲν τούτοις ποτὲ δὲ ἐκείνοις. ἐπεὶ οὖν εἶχεν **ῥάβδον** ὁ Παύλου λόγος, εἶχεν δὲ καὶ **πνεῦμα πραΰτητος** καὶ χρηστότητος, πυνθάνεται Κορινθίων, μὴ θέλων προπετέστερον καὶ ταχύτερον χρήσασθαι τῷ ἀποτομωτέρῳ· οὐχ ὅτι χωρὶς **ἀγάπης** γίνεται ἡ **ῥάβδος**, ἀλλ᾽ ὅτι ἡ ἀγάπη κέκρυπται ἐν τῷ τὴν ῥάβδον ἔχοντι, καὶ οὐ δείκνυσι τὴν ἀγάπην ἐν τῇ ἀποτομίᾳ τῆς ἐπιπλήξεως. εἶτα τὴν αἰτίαν τῆς τοιαύτης πεύσεως ἐπιφέρει λέγων **Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν.** μανθάνομεν ὅτι περὶ πορνείας ἡμᾶς κατεπᾴδεσθαι δεῖ ἵνα μὴ πέσωμεν, καὶ ἄλλο δε⟨ῖ⟩ μαθεῖν ἵνα καὶ οἱ μὴ συνειδότες ἑαυτοῖς πορνείαν, συνειδότες δὲ συναγομένο⟨ι⟩ς πορνεύουσιν, μὴ φυσιῶνται, εἰδότες ὅτι καὶ αὐτοὶ ἁμαρτωλοί εἰσι τῷ ἁμαρτωλὸν εἶναι τὸν συναγόμενον μετ᾽ αὐτῶν· ὅλῃ γὰρ τῇ ἐκκλησίᾳ ἐγκαλεῖ περὶ ἑνὸς πορνεύσαντος, καὶ τῇ φυσιώσει αὐτῶν ἐγκαλεῖ ὡς οὐ κατὰ λόγον γινομένῃ, μάλιστα διὰ τὸ ἔτι εἶναι πόρνον ἐν αὐτοῖς. καὶ τρίτον 91 μανθάνομεν ὅτι καὶ πορνειῶν εἰσὶ διαφοραί, ὥστε εἶναι πορνείαν βαρυτάτην τινὰ καὶ ἄλλην ἐλάττονα καὶ ἄλλην ἔτι ἐλάττονα. οὐκοῦν ἐν τῇ κρίσει τοῦ θεοῦ οὐχ ἁπλῶς οἱ πόρνοι κρίνονται οὐδὲ τὴν αὐτὴν καταδίκην λήψονται διὰ τὸ πεπορνευκέναι, ἀλλὰ καὶ ἡ ποσότης καὶ ἡ ποιότης αὔξει τὴν κόλασιν καὶ ἡ προαίρεσις καὶ ὁ χρόνος. ἐν Κορίνθῳ τοίνυν εἷς τις παράνομον γάμον ἐγάμησεν· τὴν γὰρ μητρυιὰν αὐτοῦ ἠγάγετο· ἀλλὰ τὸν τοιοῦτον γάμον **πορνείαν** ὁ ἀπόστολος καλεῖ καὶ **τοιαύτην** οἵαν μηδὲ **ἐν τοῖς ἔθνεσίν** ἐστιν ἀκούειν, ἵνα διδάξῃ ἡμᾶς ὅτι, ἐάν ποτε παρανόμως γαμῶμεν, οὐ λογίζεται ἡμῖν εἰς γάμον τὸν νομιζόμενον γάμον εἶναι ἀλλ᾽ εἰς **πορνείαν.**

Εἶτα τοῦτον καταλιπὼν κατὰ τῆς τούτου συμμορίας τὴν κατηγορίαν εἰσφέρει· **Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἀρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.** πᾶσιν ἐπιπλήσσει ὡς κακῶς αὐτὸν παραδεξαμένοις. ἐπὰν γὰρ ⟨ἐν μέσῳ⟩ ὄντος τοῦ ἁμαρτήσαντος φυσιώμεθα ἡμεῖς οἱ δοκοῦντες ἑαυτοῖς συνειδέναι τὰ κρείττονα, λέγετ⟨αι⟩ τὸ **καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ.**

## § XXIV.

v 3–5 [**ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι παρὼν δὲ τῷ πνεύματι ἤδη κέκρικα ὡς παρὼν τὸν οὕτως τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ κυρίου**

XXIII 3. Cf. Sap. Sol. xii 9    11. Cf. Rom. xi 11

XXIII 30– XXIV 1. These passages are separated by six extracts from other writers, but there is no fresh lemma.

XXIII 11. *δὲ μαθεῖν* MS : *δε⟨ῖ⟩ μαθειν* Swete : *δὲ ⟨δεῖ⟩ μαθεῖν*, nisi uelis *δὲ μα⟨ν⟩θ⟨άνομ⟩εν* Turner    12. *συναγομένους* MS per incuriam    15. *ἔτι* linea transuersa notauit corr. ut uid.    27. *ἀρθῇ* MS sed in lemmate *ἐξαρθῇ*    28. *ἐν μέσῳ* suppleui : *om.* MS    27, 30. *ποιήσας· ἐστε.* MS : *ποιήσας; ἐστε;* Turner    29. *λέγεται* scripsi : *λέγετε* MS

**ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυριοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ.**]

[Ὠριγένους]

93 Οὐκ εἰς ὄλεθρον τῆς ψυχῆς, οὐκ εἰς ὄλεθρον τοῦ πνεύματος, ἀλλ' εἰς ὄλεθρον τῆς σαρκός· **ἵνα γὰρ τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου**, παραδίδοται. ἐξέβαλεν γὰρ ὁ Παῦλος τὸν τοιοῦτον, οὐκ εἰδὼς ὅτι μετανοήσει καὶ ἐπιστρέψει ἀλλὰ θέλων αὐτὸν παιδεῦσαι. ἄλλο γάρ ἐστιν ἐκκόψαι τινὰ ὡς ἀνεπίδεκτον μετανοίας καὶ ἐπιστροφῆς, ἄλλο παραιτήσασθαι ἐπὶ τοῦ παρόντος καὶ ἐκβάλλειν τῆς ποίμνης, ὡς ποιμὴν ἐκβάλλει πρόβατον ψώραν ἔχον, ἵνα μὴ ἡ νομὴ τοῦ τραύματος ἐκείνου ἐφ' ὅλον τὸ ποίμνιον νεμηθῇ.

Θεραπευέσθωσαν οὖν οἱ κακῶς διάγοντες ἔξω γενόμενοι τῆς ποίμνης, ἐξομολογούμενοι καὶ πενθοῦντες τὰ ἴδια ἁμαρτήματα, ἐν νηστείαις καὶ πένθεσι καὶ κλαυθμοῖς καὶ τοῖς παραπλησίοις τὰ τῆς μετανοίας προσάγοντες. παραδίδονται γὰρ ἵνα παιδευθῶσιν, ὥστε αὐτῶν ὀλοθρευθῆναι **τὴν σάρκα**, τοῦτ' ἔστι τὸ φρόνημα τῆς σαρκός· οὐχ ἵνα τῆς ψυχῆς αὐτῶν ἅψηται, οὐχ ἵνα ἐκστήσῃ αὐτούς, οὐχ ἵνα ἄλλο τι ποιήσῃ, ἀλλ' ἵνα ἐξουσίαν λάβῃ μόνης τῆς ⟨σαρκὸς⟩ αὐτῶν, οὐκ ἐμοῦ διδόντος τὴν ἐξουσίαν ἀλλὰ **τῆς ἐν ἐμοὶ δυνάμεως τοῦ Ἰησοῦ.**

Ἀπὸ τοῦ κρείττονος αὐτοῦ ὅλην ὠνόμασε τὴν σωτηρίαν, ἵνα μὴ εἴπῃ Καὶ τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα **σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου, ἀλλὰ τὸ πνεῦμα σωθῇ**, ἀπὸ τοῦ κρείττονος ὀνομάσας ὅλου τοῦ ἀνθρώπου τὴν σωτηρίαν. ὡς γὰρ σωθησόμενον αὐτὸν κελεύει παραληφθῆναι εἰς τὴν ἐκκλησίαν ἐν τῇ δευτέρᾳ ἐπιστολῇ.

**Ἀπεῖναι** δὲ τῷ **σώματι** καὶ **παρεῖναι τῷ πνεύματι** Παύλου ἐστὶ καὶ τῶν παραπλησίων αὐτῷ· ἔφη γὰρ καὶ ἑτέρωθι Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. οὐδεὶς δὲ ἡμῶν δύναται εἰπεῖν ὅτι Πάρειμι καὶ βλέπω τῆς ἐκκλη-
94 σίας τὰ προτερήματα ἢ τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. τοιοῦτος ἦν Ἐλισσαῖος· εἰ γὰρ καὶ μὴ παρῆν τῷ σώματι, πνεύματι συναπῆλθεν τῷ Γιεζῇ καὶ φησὶ πρὸς αὐτὸν Οὐχὶ ἡ καρδία μου ἦν μετὰ σοῦ ἡνίκα ἔλαβες τὸ διτάλαντον τοῦ ἀργυρίου καὶ ἔλαβες τὰς στολὰς ἀπὸ Νεμὰν τοῦ Σύρου; ἆρ' οὖν Ἐλισσαῖος μὲν ταύτην τὴν χάριν εἶχεν, Παῦλος δὲ ὁ τοῦ Χριστοῦ ἀπόστολος ὁ ζηλῶν τὰ χαρίσματα τὰ μείζονα, μᾶλλον δὲ ἵνα προφητεύῃ, οὐχ εἶχεν τοιαύτην χάριν; ἀλλ' ἀποφαίνομαι καὶ τεθαρρηκότως λέγω ὅτι ἦν Παῦλος οὐ μόνον ἀπόστολος ἀλλὰ καὶ προφήτης· τοιοῦτος ἦν ὅτε φησὶν Ἔσονται οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς· ταῦτα γὰρ οὐχ ὡς ἀπόστολος ἀλλ' ὡς προφήτης εἶπεν. καὶ Τὸ πνεῦμα δὲ

XXIV 4. Ioel ii 14 10–11. Cf. Ioel ii 12 13. Rom. viii 6, 7 19. Cf. 2 Cor. ii 7 22–3, 25. Col. ii 5 27. 2 (4) Reg. v 26 28. 2 (4) Reg. v 23, 26 30. 1 Cor. xii 31; 1 Cor. xiv 1 32–3. 2 Tim. iii 2

XXIV 3, 17. *κυρίου*: + Ἰησοῦ MS in lemmate 7. *ποιμνήν* MS per incur. 14. *σαρκὸς* scripsi: *ψυχῆς* MS*

φησιν ῥητῶς λέγει ὅτι ἐν ἐσχάτοις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως. ποῖον δὲ πνεῦμα; ὡσεὶ ἔλεγεν Τὸ ἐν ἐμοὶ πνεῦμα. ἔχων οὖν ταύτην τὴν χάριν, εἰ καὶ ἀπῆν τῷ σώματι, ὅπου ἐβούλετο παρῆν τῷ πνεύματι· οὐ μόνος γὰρ παρῆν τῷ πνεύματι, ἀλλὰ καὶ ἡ δύναμις Ἰησοῦ.

## § XXV.

v 7–8 [**ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι. καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.**]

[Ὠριγένους]

Ὁ ἀποθέμενος τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ τῆς παλαιᾶς ζύμης ⟨οὐδὲν⟩ ἔχων ἐν ἑαυτῷ ἀλλὰ καινὸν φύραμα ποιήσας τὸ κατὰ Χριστὸν Ἰησοῦν, οὗτος πεποίηκε τὴν τῶν ἀζύμων ἑορτήν· εἶτα μετὰ τὴν τῶν ἀζύμων ἑορτὴν ἡ νέα ζύμη φαίνεται. Ἰησοῦς ὁ χριστός ἐστιν ἡ νέα ζύμη. ἐσθί⟨ω⟩μεν οὖν πρῶτον ἄζυμα, ἀπεχόμενοι πάσης κακίας καὶ πονηρίας. περὶ τούτων ὁ ἀπόστολος διδάσκων φησὶν Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι· οἷόν τι παρὰ Ἰουδαίοις γίνεται, ἐὰν ἐπιφώσκῃ ἡ ἡμέρα ἡ τῶν ἀζύμων, ἐκκαθαίρουσι πᾶσαν παλαιὰν ζύμην, πάντα τόπον τῆς οἰκίας περιαθροῦντες μή ποτε ζύμη ἐκεῖ εὑρεθῇ, οὕτως καὶ σὺ τὰ ἐν σοὶ ταμιεῖα κατανόησον μή που ζύμη ἐκεῖ, ἵνα ἦτε νέον φύραμα.

καθώς ἐστε ἄζυμοι. ἐπεὶ ἦσαν ἐν Κορίνθῳ οἱ μὲν ἅγιοι οἱ δὲ οὐ τοιοῦτοι ἀλλ' ἁμαρτωλοὶ καθὰ ἐν προοιμίοις τῆς ἐπιστολῆς φθάσαντες ἔφαμεν, διὰ τοὺς ἐπαινετούς φησι καθώς ἐστε ἄζυμοι.

καὶ γὰρ τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός· ὁρῶν ὅτι κατὰ τὸν Μωσέως νόμον πρῶτον τὸ πάσχα γίνεται καὶ θύεται τὸ πρόβατον, εἶτα μετὰ τὸ πρόβατον ἄζυμα ἐσθίουσι, διὰ τοῦτο εἶπεν Ἤδη τὸ πάσχα τέθυται Χριστός·

ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. εἰλικρινείας, κατὰ τὴν πολιτείαν· ἀληθείας, κατὰ τὴν γνῶσιν· ἐν γὰρ ἀμφοτέροις χαρακτηρίζεται τὰ ἄζυμα τὰ ἀληθινά.

## § XXVI.

v 9–11 [**ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις ἢ ἅρπαξιν ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νῦν δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.**]

35. 1 Tim. iv 1   XXV v. 7. Ex. xii 21   2. Col. iii 9; cf. Eph. iv 22

XXV 3. οὐδέν suppleui : *om.* MS   4. ἑωρτήν MS* per incur.   5–6. ἐσθίωμεν Turner : ἐσθίομεν MS   11. μήπω m. p. ut uid.   νέον φύραμα καθὼς MS

[Ὠριγένους]

97 Ὑπέλαβον τινὲς ἐκ τούτου τοῦ ῥητοῦ ὅτι πρὸ τῆς προτέρας πρὸς Κορινθίους ἐπιστολῆς ἐγέγραπτο ἄλλη τις ἐπιστολὴ τῷ ἀποστόλῳ ἥτις νῦν οὐ σώζεται· καὶ ἔγραψεν αὐτοῖς **μὴ συναναμίγνυσθαι πόρνοις** ὅσον ἐπὶ τῇ προκειμένῃ λέξει, ἀκούσας δὲ Κορινθίους τεταράχθαι, οἰομένους λέγεσθαι μὴ συναναμίγνυσθαι πόρνοις μηδὲ τοῖς τοῦ κόσμου—ὅπερ ἀδύνατόν ἐστιν, ἐν τῷ βίῳ ὄντα μὴ ὁμιλεῖν ἐθνικοῖς συνεργοῖς, πραγματευταῖς, καὶ τοιούτοις τισὶν ἑτέροις—σαφηνίζων, φασί, τὸ τότε παραλελειμμένον Οὐ περὶ πόρνων λέγω, φησί, **τοῦ κόσμου τούτου** ἀλλὰ περὶ τῶν ὀνομαζομένων μὲν **ἀδελφῶν** οὐκ ὄντων δὲ σεμνῶν. οἱ δὲ μὴ βουλόμενοι ἐπιστολὴν ἑτέραν εἶναι πρὸ ταύτης ἐροῦσι ταύτην τὴν λέξιν ἐπὶ ταύτην τὴν ἐπιστολὴν ἀναφέρεσθαι, ὅτι **ἐν** ταύτῃ **τῇ ἐπιστολῇ ἔγραψα μὴ συναναμίγνυσθαι** ὑμᾶς **πόρνοις**, πόρνοις δὲ λέγω τοῖσδε, οὐ τοῖσδε.

Ἔοικεν δὲ ὁ ἀπόστολος συγκρίσει πόρνων πολλῷ χείρονας λέγειν εἶναι τοὺς ἐν ἡμῖν πόρνους· ὁ γὰρ ἔξωθεν πορνεύων οὐ ναὸν τοῦ θεοῦ φθείρει, οὐκ ἄρας τὰ μέλη τοῦ Χριστοῦ ποιεῖ πόρνης μέλη, οὐχ **ὅλον τὸ φύραμα ζυμοῖ**· κἀκεῖνος μὲν ὅτε θέλει μετανοεῖ καὶ ἄφεσιν ἔχει ἁμαρτημάτων, ὁ δὲ μετὰ τὴν πίστιν πορνεύσας κἂν μετανοήσῃ πάλιν ὕστερον ἄφεσιν μὲν οὐκ ἔχει ἁμαρτημάτων δύναται δὲ τὴν ἁμαρτίαν ἐπικαλύψαι. Μακάριοι γάρ φησιν ὧν ἀφέθησαν αἱ ἁμαρτίαι, τῶν ἀπὸ τῶν ἐθνῶν προσελθόντων· καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι, τῶν μετὰ τὴν πίστιν ἁμαρτανόντων ἐπικαλυπτόντων δὲ τοῖς ἀγαθοῖς ἔργοις, οἷον τὴν ἀκολασίαν τῇ πολλῇ σωφροσύνῃ.

98 **Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ πλεονέκταις ἢ ἅρπαξιν ἢ εἰδωλολάτραις.** ὡς εἰσὶ πόρνοι **τοῦ κόσμου** καὶ πόρνοι ἐπὶ Χριστὸν κληθέντες, οὕτως καὶ πλεονέκται οἱ μὲν τοῦ κόσμου τούτου οἱ δὲ τῆς ἐκκλησίας. φυλαξώμεθα οὖν μέχρι τοῦ ἐλαχίστου τὴν πλεονεξίαν· συνέζευκται γὰρ καὶ αὕτη τῷ τῆς πορνείας ἁμαρτήματι. καὶ τρίτον **ἅρπαγας** τινὰς ὀνομάζει, ὅταν ἁρπάζωσι τὰ τῶν πέλας. καὶ **εἰδωλολάτραι** δέ τινές εἰσι μεθ' ἡμῶν παρὰ τοὺς **εἰδωλολάτρας** τοῦ κόσμου τούτου, οἱ θέλοντες διδάσκειν ὅτι ἀδιάφορόν ἐστι τὸ εἰδωλολατρεῖν· μάλιστα δὲ τοῦτο τὸ ἁμάρτημα εὑρίσκεται ἐν τοῖς στρατευομένοις· Ἀνάγκη μοι λέγο⟨υσιν⟩ ἐπίκειται· ἡ στρατιὰ τοῦτο ἀπαιτεῖ· κινδυνεύω τῇ κεφαλῇ ἐὰν μὴ θύσω ἢ μὴ λευχειμονήσας τὸν λίβανον ἐπιθῶ κατὰ τὰ νενομισμένα τῆς στρατιᾶς τοῦ κόσμου· καὶ πρὸς τούτοις ὁ τοιοῦτος λέγει ἑαυτὸν χριστιανόν· **τῷ τοιούτῳ** φησὶ **μηδὲ συνεσθίειν**. ἔστιν δὲ καὶ ὁ ἀρνησίθεος ἐν καιρῷ διωγμῶν **εἰδωλολάτρης** ἡμῶν. **Ἔγραψα** οὖν φησὶ **τῷ τοιούτῳ** ⟨οὔπω⟩ **ἐκ τοῦ κόσμου** ὄντι **μὴ** συναναμίγνυσθαι, **ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ** συναναμίγνυσθαι **ἐάν τις ἀδελφὸς ὀνομαζό-**

XXVI 9. cf. v. 11 *infra* 14. 1 Cor. iii 17 14, 15. 1 Cor. vi 15
15. v 6, Gal. v 9 18, 19. Ps. xxxi (xxxii) 1 30. Cf. 1 Cor. ix 16
33. v 11 *infra*

XXVI 29 ff. This very interesting reference to Origen's views on military service has apparently escaped Harnack (*Militia Christi* pp. 70–2). Cf. also the slighting reference to soldiers *infra* § XXVII 60–2 Turner.

XXVI 30. λέγουσιν : λέγοντες MS 34. τῷ τοιούτῳ MS : οὔπω suppleui

μενος. καλῶς τὸν τοιοῦτον οὐκέτι δ⟨ὴ⟩ ἀδελφὸν εἶπεν ἀλλὰ μέχρις ὀνόματος μόνον ἀδελφόν.

Ἀλλὰ ταῦτα μὲν δυνάμεθα ἑαυτοῖς συνειδέναι οἱ πολλοὶ ὅτι οὐκ ἔχομεν τὰ κακὰ ταῦτα· ἐπὶ δὲ τῶν ἑξῆς καὶ ἐμαυτὸν φοβοῦμαι, μή πως ἔνοχός εἰμι τοῖς ἄλλοις ἁμαρτήμασιν. λέγει γὰρ ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἡλίκοις κακοῖς τὸν λοίδορον συνηρίθμησεν—τῷ πόρνῳ, τῷ πλεονέκτῃ, τῷ εἰδωλολάτρῃ· οὐκοῦν καὶ ὁ λοίδορος ἤδη ἐχθρός ἐστι τῆς ἐκκλησίας. διὰ τοῦτο ἀκούομεν τοῦ κυρίου λέγοντος Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καὶ τοῦ ἀποστόλου λέγοντος Λοιδορούμενοι εὐλογοῦμεν· λοίδορος γὰρ βασιλείαν θεοῦ οὐ κληρονομεῖ. δεῖ τοίνυν τὸ στόμα καθαρὸν τηρεῖν· τί γάρ μοι τοὺς ἔξω κρίνειν; μέθυσοι ἔστωσαν ἔξω· πόρνοις συνεσθίω καὶ συνδιατρίβω· οὐ βλάπτει με ἡ ἐκείνων μικρὰ ζύμη; ὅλον τὸ φύραμα τοῦτο οὐ ζυμοῖ;

**[v 12] τί γάρ μοι τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ;**

Ἐπέτρεψεν πᾶσιν ἡμῖν κρίνειν τοὺς ἔσω ἁμαρτάνοντας. ἀναφέρομεν αὐτο⟨ὶ⟩ τὸ ἁμάρτημα ἐπὶ τὸν ἐπίσκοπον, ἵνα νόμῳ ἐκβληθῇ ὁ τοιοῦτος ἀπὸ τῆς ἐκκλησίας.

**[v 13] καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.**

Καὶ ἐκ τούτων μὲν ἐξάρατε τὸν πονηρόν· ἀλλὰ ζήτει μήποτε θέλων ἔξωθεν τὸν πονηρὸν ἐξάραι, ἔχεις ἐν ἑαυτῷ τὸν πονηρόν. διὰ τοῦτο πάντα ποίει ἵνα ἐξάρῃς τὸν πονηρὸν ἀπὸ σεαυτοῦ· ἐκείνου γὰρ ἐξελθόντος, Χριστὸς Ἰησοῦς ἐν σοὶ κατοικήσει.

## § XXVII.

**vi 1–3 [τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων· οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά;]**

[Ὠριγένους]

Δυσωπεῖ τοὺς ἐν Κορίνθῳ ἁμαρτάνοντας καὶ ἀσχολουμένους περὶ δικαστήρια καὶ βιωτικὰς χρείας καὶ ταλαιπωρίας, καὶ φησὶν ὅτι Ἐκλήθητε ἐπὶ τοῦτο ἵνα τελειωθέντες κρίνητε ἀγγέλους, οὐχὶ δὲ μᾶλλον δυνήσεσθε, ἐάν ποτε ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνηται, κρίνειν τὰ βιωτικὰ τῶν ἀδελφῶν;

**[vi 4] βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε** καὶ τὰ ἑξῆς.

Ἀληθῶς μὲν ἐνίοτε τοιαῦτα ἐστὶ τὰ τῶν κρινομένων ὡς μὴ δεῖσθαι σοφοῦ τοῦ δικάζοντος, ἀλλὰ μᾶλλον τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ

44. Matt. v 44 45. 1 Cor. iv 12 46. 1 Cor. vi 10 47. 1 Cor. v 12 *infra* 48. Cf. v 6 *supra* 55. Deut. xxii 24 XXVII 5. 1 Cor. vi 6 *infra*

37. δὴ Turner : δὲ MS 47. rasura est *ante* ἔξω 2° in MS, locus corruptus uidetur 53. αὐτοί Turner : αὐτῶν Nairne : αὐτὸ MS 55. ἐξαρεῖτε MS et in lemmate, cf. LXX ἐξαρεῖς XXVII 3. τούτῳ m.p. : τοῦτο corr. 8. ἀλλὰ μᾶλλον . . . ἐκκλησίᾳ aliquid excidisse uidetur: fortasse καθίζετε Nairne : τῶν ἐξουθενημένων Swete

**⟨καθίζετε⟩**· γένοιτο δ' ἄν ποτε τὰ τῶν δικαζομένων ὡς καὶ σοφοῦ δεῖσθαι δικαστοῦ. ὃ δὲ λέγω, οὕτως ἔσται σαφές· ἐὰν οἱ δικαζόμενοι δέωνται νόμων κοσμικῶν καὶ ἐμπείρων δικαστῶν, οὐ γραφῆς οὐδὲ νόμου τοῦ ἐν τῇ γραφῇ ἀλλ' οἱονεὶ υἱῶν τοῦ αἰῶνος τούτου φρονιμωτέρων δοκ⟨ούντων⟩ εἶναι, πιστοὶ ἔσονται κριταὶ οἱ ἐξουθενημένοι ἐν τῇ ἐκκλησίᾳ· καὶ ἔσται ψόγος τῶν κρινομένων ὅτε δέονται καὶ τῶν ἐξουθενημένων μᾶλλον ἢ τῶν σοφῶν· ὁ μὲν γὰρ τῷ λόγῳ ἀκολουθῶν, εἰ καὶ δεῖται κριτοῦ, δεῖται μᾶλλον σοφοῦ, ἵνα νουθετηθῇ ἀπὸ τῆς σοφίας τοῦ σοφοῦ εἰσφέροντος αὐτῷ λόγους οἰκοδομοῦντας.

[vi 4–5] **τοὺς ἐξουθενημένους οὖν ἐν τῇ ἐκκλησίᾳ τούτους καθίζετε· πρὸς**
106 **ἐντροπὴν ὑμῖν λέγω· οὕτως οὐκ ἔνι ἐν ὑμῖν οὐδεὶς σοφὸς ὃς δυνήσεται ἀνακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ;**

Ἐγκαλεῖ τῇ Κορινθίων ἐκκλησίᾳ ὅτι καίτοι ἐν μέσῃ τῇ Ἑλλάδι καθεζόμενοι σοφοὺς οὐκ εἶχον ἀληθινούς, καίτοι γε προειπὼν ὅτι πολλοὶ ἐπαγγέλλονται σοφίαν παρ' αὐτοῖς· δι' οὓς καὶ εἶπεν τὸ Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. ἀλλ' οἱ μὲν εἰσὶ σοφοὶ τοῦ αἰῶνος τούτου, οἱ δὲ σοφοὶ κατὰ θεόν. ᾔδει δὲ ὁ Παῦλος ἐκείνους· διὰ τοῦτο φησὶν **Οὕτως οὐκ ἔνι ἐν ὑμῖν σοφὸς ὃς δυνήσεται ἀνακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ;**

[vi 6] **ἀλλ' ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων;**

Ἔχομεν ἄρχοντας τῆς ἐκκλησίας ἐφ' οὓς ὀφείλομεν ἀναφέρειν τὰς ἡμετέρας κρίσεις, ἵνα μὴ καταγελώμεθα ἐν τοῖς τῶν ἐθνῶν δικαστηρίοις.

[vi 7] **ἤδη μὲν οὖν ἥττημα ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν,** οὐ μεμνημένοι τοῦ **Διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;** ἀποστῶμεν τῶν κριμάτων τῶν βημάτων τῶν ἐθνικῶν, τοῦ ἔχειν δίκας καὶ πράγματα. ὁ γὰρ **κρίματα** ἔχων **μετὰ** τοῦ **ἀδελφοῦ** ἤδη **ἡττᾶται,** καὶ ὁ ἀδικούμενος νενίκηκεν· ὁ τυπτόμενος καὶ κακολογούμενος μηδὲ ἀμειβόμενος τὸν ταῦτα ποιοῦντα νενίκηκεν, φυλάττει γὰρ τὴν ἐντολὴν τὴν λέγουσαν **Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;**

[vi 8] **ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ τοῦτο ἀδελφούς.**

Πᾶς μὲν οὖν ὁ ταῦτα ποιῶν ἁμαρτάνει· ὅσῳ δὲ τιμιώτερόν ἐστι τὸ ἀδικούμενον πρόσωπον, τοσούτῳ τὸ ἁμάρτημα χαλεπώτερον. καὶ γὰρ εἰ ἀδικεῖ τις τὸν μακάριον, δυνάμει Χριστὸν **ἀδικεῖ** καὶ Χριστὸν **ἀποστερεῖ.**

[vi 9] **ἢ οὐκ οἴδατε ὅτι ἄδικοι θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν;**

Εἰ ἡ **βασιλεία τοῦ θεοῦ** ἐν Χριστῷ ἐστιν, Χριστὸς δὲ ἡ δικαιοσύνη ἐστίν, ὁ δίκαιος βασιλείαν θεοῦ κληρονομεῖ ἐν Χριστῷ δικαιοσύνῃ ὄντι· καὶ ἀκολούθως ὁ ἐν τῇ ἐναντίᾳ καταστάσει, οὗτος **οὐ κληρονομεῖ βασιλείαν θεοῦ.**

[vi 9] **μὴ πλανᾶσθε· οὔτε πόρνοι·**

Μηδεὶς ὑμᾶς πλανάτω πιθανοῖς λόγοις· 'Ἐλεήμων, χρηστός, φιλάνθρωπος

XXVII 12. Lc. xvi 8 22. 1 Cor. iii 19; Job v 13 23. 1 Cor. ii 6 41. 1 Cor. i 30 45. 1 Io. iii 7; Eph. v 6. Cf. Col. ii 4

XXVII 12. *δοκούντων* scripsi: *φρονιμωτέρων δοκῶσιν εἶναι πιστοί. ἔσονται κριταὶ* . . . MS 14–15. *τῷ λόγῳ* cf. *infra* 18. *λέγω οὕτως· οὐκ ἔνι* MS hic et in lemmate: infra tamen (l. 24) *οὕτως οὐκ ἔνι* *ἀνακρῖναι* hic et infra MS: in lemmate *διακρῖναι* 29. *om.* *ὅλως* MS, sed habet in lemmate

ἐστιν ὁ θεὸς ἀφίησι τὰ ἁμαρτήματα.᾿ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν
τοῦ βήματος τοῦ χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν,
εἴτε ἀγαθὸν εἴτε κακόν. μηδεὶς προφασιζέσθω Νέος ἤμην, ἄγαμος ἤμην, πρὶν
γυναῖκα λαβεῖν πεπόρνευκα. διὰ τί δὲ οὐκ ἔλαβες γυναῖκα; οὐ πιστεύεις ὅτι
εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός; ἀλλ᾿ αἴρεις τὰ μέλη τοῦ 107
χριστοῦ καὶ ποιεῖς πόρνης μέλη; ὁ πορνεύων εἰς τὸν τῶν ὅλων θεὸν ἀσεβεῖ.

[Ὠριγένους]

[vi 9–10] **Μὴ πλανᾶσθε οὖν· οὔτε πόρνοι οὔτε εἰδωλολάτραι βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν· οὕτω δὲ οὐδὲ μοιχοί.** ὁ πορνεύων φθείρει τὸν ναὸν τοῦ θεοῦ· ὁ δὲ μοιχεύων πρὸς τούτοις καὶ εἰς τὸν ἄνδρα πλημμελεῖ. οὐδὲ **μοιχοὶ** οὖν· ἀλλ᾿ οὐδὲ **μαλακοί.** παρακαλοῦμεν οὖν καὶ ὑμᾶς, ὦ παῖδες, τηρῆσαι τὴν ἑαυτῶν ὥραν καθαρὰν καὶ μὴ μολυνθῆναι τοιούτῳ γυναικείῳ μολυσμῷ. οὐδὲ **ἀρσενοκοῖται βασιλείαν θεοῦ κληρονομήσουσιν·** ἀλλ᾿ ἀπείη ἐκκλησίᾳ κἂν ἕνα τοιοῦτον εὑρεθῆναι.

Εἶτα ἐπικαταβαίνει καὶ ἐπὶ τὰ ἐλάττονα δοκοῦντα εἶναι ἁμαρτήματα λέγων **Οὔτε κλέπται·** τοῦτο δὲ τὸ ἁμάρτημα τὸ τῆς κλοπῆς σχεδὸν πάντες οἱ στρατευόμενοι ἁμαρτάνουσι, μὴ ἀρκούμενοι τοῖς ὀψωνίοις, ὡς ἐδίδαξε τὸ εὐαγγέλιον, ἀλλὰ διασείοντες καὶ συκοφαντοῦντες. ἀλλὰ καὶ οἱ ἐν ταῖς πραγματείαις ψεῦσται ⟨κλέπται⟩ εἰσίν, οὐ κληρονομοῦντες τὴν βασιλείαν τοῦ θεοῦ· οὕτως δὲ καὶ οἱ ἐν ταῖς πραγματείαις πλεονεκτοῦντες πλεονέκται εἰσίν· καὶ ἄλλοι **μέθυσοι·** ἀλλὰ καὶ **λοιδόρους** φησὶ μὴ κληρονομεῖν τὴν **βασιλείαν τοῦ θεοῦ.** Μηδενὸς οὖν βασιλεύ⟨ο⟩ι ἡ ἁμαρτία· δεῖ γὰρ καθαρὰν εἶναι τὴν **βασιλείαν τοῦ θεοῦ** ἀπὸ πάντων ἁμαρτημάτων καὶ πταισμάτων, ἵν᾿ ὁ θεὸς βασιλεύῃ.

## § XXVIII.

vi 12 [**Πάντα μοι ἔξεστιν, ἀλλ᾿ οὐ πάντα συμφέρει. πάντα μοι ἔξεστιν, ἀλλ᾿ οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.**]

[Ὠριγένους]

Ὑπεράνω δεῖ εἶναι ὧν ἔλαβον ἐξουσίαν· ἃ καὶ ποιήσαντες οὐχ ἁμαρτησόμεθα. 109
οὕτω γὰρ ⟨οἱ⟩ φιλοτιμότερον πολιτευόμενοι πολιτεύονται· μὴ οὐκ ἔχομεν γάρ, φησὶν ὁ ἀπόστολος, ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ Κηφᾶς; ἢ

46 f. 2 Cor. v 10 50. 1 Cor. iii 17 50. 1 Cor. vi 15 54. 1 Cor. iii 17 57. Apoc. xiv 4 62–3. Lc. iii 14 64. Cp. Apoc. xxi 27, xxii 15 65. Rom. vi 12
XXVIII 4 ff. 1 Cor. ix 4–5

XXVII 51, 53. These two passages are separated in the MS by an extract from Photius and a fresh lemma, but there is no break in the sense.

63 ff. *οὔτε πλεονέκται οὔτε κλέπται* in lemmate sed hic *ἀλλὰ καὶ οἱ ἐν τ. π. ψεῦσται εἰσὶν οὐ κληρονομοῦντες . . . θεοῦ· οὕτως δὲ καὶ οἱ ἐν τ. π. πλεονεκτοῦντες, πλεονέκται εἰσίν* MS: + *κλέπται* post *ψεῦσται* Turner: leg. fortasse mutato ordine *οὕτως δὲ καὶ οἱ ἐν ταῖς πραγματείαις πλεονεκτοῦντες πλεονέκται εἰσίν· ἀλλὰ καὶ οἱ ἐν ταῖς π. ψεῦσται ⟨πλεονέκται⟩ εἰσίν, οὐ κληρονομοῦντες κ.τ.λ.* 67. *βασιλεύει* MS
XXVIII 2. *ἐλάβομεν* Turner 3. *οἱ* suppleui: *οὕτω γὰρ πολιτευόμενοι* MS

μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν μὴ ἐργάζεσθαι; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ. οὐκοῦν ἐξῆν μὲν τῷ ἀποστόλῳ ταῦτα πάντα ἐν τοῖς τόποις οἷς παρεθέμην, συνεξετάζων δὲ αὐτὰ τῷ αὐτοῦ συμφέροντι καὶ τῇ οἰκονομίᾳ τῆς ἐκκλησίας ἑώρα ὅτι ἔξεστι μέν—ἐὰν ποιήσῃ, οὐχ ἁμαρτήσεται—κρεῖττον δὲ ποιεῖ ⟨οὐ⟩ χρησάμενος τῇ ἐξουσίᾳ. καὶ πάλιν· πάσῃ παρθένῳ ἔξεστι γαμεῖσθαι· ἀλλ' ἡ καλὴ καὶ ἀγαθὴ οὐχ ὡς μὴ ἐξὸν γαμεῖν ἀπέχεται τοῦ γαμεῖν ἀλλ' ἀναβ⟨ίβασ⟩ασα τὴν ἐξουσίαν καὶ βουλομένη καθαρὰ εἶναι καὶ τῷ σώματι καὶ τῷ πνεύματι παρθενεύει. ἀλλὰ καὶ ἀνδρὸς τελευτήσαντος οὐ κεκώλυται ἡ διγαμία παντελῶς· Ἐὰν γάρ, φησίν, ὁ ἀνὴρ ἀποθάνῃ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ. ἀλλ' ἀκούσασα ἡ καλὴ γυνὴ ⟨τὸ⟩ μακαριωτέρα ἐστὶν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην, οὐ κέχρηται τῇ ἐξουσίᾳ.

**πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος·** ἔχει τι ὁ λόγος ὑψηλότερον· εἰ γὰρ οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα ἀλλὰ πρὸς τὰς ἀρχὰς ἢ πρὸς τὰς ἐξουσίας, ὅταν ἡ ἐξουσία κρατήσῃ, **ἐξουσιάσθην ὑπ' ἐκείνης**· ἐὰν δὲ πᾶσαν ἐξουσίαν νικήσω, **οὐκ ἐξουσιασθήσομαι ὑπό τινος.**

## § XXIX.

vi 13–14 [**Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ κυρίῳ, καὶ ὁ κύριος τῷ σώματι· ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρεν καὶ ἡμᾶς ἐξ⟨ήγειρεν⟩ διὰ τῆς δυνάμεως αὐτοῦ.**]

[Ὠριγένους]

110 Μὴ νομίσῃς ὅτι ὥσπερ ἡ **κοιλία** γέγονεν **τοῖς βρώμασιν** καὶ **τὰ βρώματα τῇ κοιλίᾳ**, οὕτω καὶ **τὸ σῶμα** γέγονε διὰ συνουσιασμόν. εἰ θέλεις τὸν προηγούμενον λόγον μαθεῖν διὰ τί γέγονεν, ἄκουε· ἵνα ναὸς ᾖ τῷ κυρίῳ, καὶ ἵνα ἡ ψυχὴ ἁγία καὶ μακαρία οὖσα τὸ πνεῦμα τὸ ἅγιον ὡσπερεὶ θεραπεύουσα ἱερεὺς γένηται τοῦ ἐν σοὶ ἁγίου πνεύματος. καὶ ὁ Ἀδὰμ γὰρ σῶμα εἶχεν ἐν τῷ παραδείσῳ, ἀλλ' ὅμως ἐν αὐτῷ τῷ παραδείσῳ οὐκ ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, ἀλλ' ὅτε ἐξεβλήθη μετὰ τὴν παρακοήν. ταῦτα δὲ λέγω, οὐ περιγράφων τὸν γάμον· οἶδα γὰρ ὅτι Εἴ τις οὐκ ἐγκρατεύεται, γαμεῖν ὀφείλει· κρεῖσσον γάρ ἐστι γαμεῖν ἢ πυροῦσθαι. ἀλλ' εἰ καὶ συγκεχώρηται τὸ πρᾶγμα, οὐ προηγουμένως ἀλλὰ δι' ἀσθένειαν. τὸ γὰρ προηγούμενον ἁγνεύειν καὶ καθαρεύειν καὶ σχολάζειν τῇ προσευχῇ.

111 Τοῦ γὰρ ἤδη ἐγερθέντος μετὰ Χριστοῦ καὶ συμμόρφου γενομένου τῇ ἀνα-

XXVIII 6, 10, 16. 1 Cor. ix 12  12. 1 Cor. vii 34  14. 1 Cor. vii 39  15 f. 1 Cor. vii 40  18 f. Eph. vi 12  XXIX 7. Gen. iv 1  9. 1 Cor. vii 9  12. 1 Cor. vii 5  13, 14. Rom. vi 4, 5

XXIX 12, 13. These two passages are separated in the MS by five extracts from other authors, though still included under the same lemma as XXVIII 2 ff.

XXVIII 10. *om.* οὐ MS  11. ἀναβᾶσα MS : fortasse ἀναβιβάσασα  15. τὸ suppleui : *om.* MS  XXIX 13. ἐγερθέντος : unde ἐξήγειρεν scripsi in lemmate (ἐξεγερεῖ MS)

στάσει αὐτοῦ καὶ τῇ καινότητι τῆς ζωῆς **τὸ σῶμα** *ὀφείλει εἶναι οὐδενὸς ἢ* **τοῦ κυρίου.**

## § XXX.

vi 15 [**Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν;**]

[Ὠριγένους]

*Ψυχῆς ὄργανα ἐστὶ* **τὰ** *ἀνθρώπων σώματα· καὶ ἀρχούσης τῆς ψυχῆς ὑπηρε-* 112
*τεῖται τὸ σῶμα, καὶ χρῆται αὐτῷ εἰς ἃ βούλεται. ἰδίως δὴ ὁ λόγος θέλει ἡμῶν* **τὰ σώματα** *μηκέτι ὑπὸ τῆς ψυχῆς ἐνεργεῖσθαι τῆς ἡμετέρας ἀλλ' ὑπ' αὐτοῦ τοῦ* **Χριστοῦ·** *διὸ λέγει ὁ Παῦλος* Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. **μέλη** *οὖν τότε γίνεται* **Χριστοῦ**, *ὅτε πάντα κατὰ τὸν αὐτοῦ λόγον κινοῦμεν.*

## § XXXI.

vi 18 [**φεύγετε τὴν πορνείαν· πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.**]

[Ὠριγένους]

*Ζητήσει τις, εἰ* **πᾶν ἁμάρτημα ἐκτὸς τοῦ σώματός ἐστιν.** *ἐρεῖ γάρ τις* 114
*Ἁμάρτημά ἐστι τὸ μεθύειν· ἁμάρτημά ἐστι τὸ ἑαυτὸν ἐξάγειν ἐκ τοῦ βίου δι' ἀγχόνης, διὰ κρημνοῦ· ἆρ' οὖν* **ἐκτὸς τοῦ σώματός** *ἐστι καὶ τοῦτο τὸ ἁμάρτημα; ἀλλ' εὐγνωμόνως δεῖ ἀκοῦσαι πῶς εἴρηται τοῦτο· ἀφορμὴν δὲ λῃψόμεθα τοῦ νοῆσαι τὰ κατὰ τὸν τόπον ἐκ τοῦ Λευϊτικοῦ· ἐκεῖ γὰρ λέγεται ὅτι* ἐκ τῆς ῥύσεως συνέστηκεν τὸ σῶμα αὐτοῦ. *ἐπεὶ οὖν ἡ σύστασις τοῦ σώματος ἀπὸ σπερμάτων ἐστί, διὰ τοῦτο* ⟨ὁ⟩ *ἁμαρτάνων κατὰ τὴν πρόρ⟨ρ⟩υσιν τῶν σπερμάτων* **εἰς τὸ σῶμα** *τὸ ἑαυτοῦ* **ἁμαρτάνει·** *καὶ ἔστιν ἡ ἁμαρτία αὕτη ἀπὸ τούτων γινομένη, ἀφ' ὧν καὶ ἡ ἀρχὴ τῆς συστάσεως τοῦ σώματος.*

## § XXXII.

vi 19–20 [**Ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύ-** 119
**ματός ἐστιν, οὗ ἔχετε ἀπὸ ⟨τοῦ⟩ θεοῦ; καὶ οὐκ ἐστὲ ἑαυτῶν, ἠγοράσθητε γὰρ τιμῆς. δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν.**]

[Ὠριγένους]

*Καλῶς ἀνθυποφορὰν ὑπειδόμενος καὶ προφυλαξάμενος εἶπεν τὸ* **Οὐκ ἐστὲ ἑαυτῶν.** *ἐρεῖ γάρ τις* **Εἰς τὸ ἴδιον σῶμα** *ἁμαρτάνω· ἐξουσίαν ἔχω τοῦ ἰδίου σώματος· εἶτα φησὶν* **Ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ τοῦ θεοῦ;** *εἰς τὸ πνεῦμα τὸ ἅγιον ἀσεβοῦμεν, καὶ δι' αὐτοῦ εἰς πατέρα καὶ υἱὸν εἰς οὓς βεβαπτίσμεθα, ἐὰν*

XXX 5. Gal. ii 20 XXXI 7. Lev. xv 3 XXXII 7. 1 Cor. vi 15 8, 9. Cf. 1 Cor. iii 17

XXX 6–XXXI 2. The two passages are under the same lemma in the MS, but separated by four other extracts.

XXXI 8. ὁ suppleui : *om.* MS πρόρυσιν MS XXXII 2. ὑπειδόμενος MS (uide L. & S. *s.v.*) 5. ἀπὸ τοῦ θεοῦ : in lemmate *om.* τοῦ MS

πορνεύωμεν· εἰς Χριστὸν μέν, ὅταν ἄρας τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης
120 μέλη· εἰς τὸ ἅγιον δὲ πνεῦμα, ὅταν τὸν ναὸν τοῦ ἐν ἡμῖν ἁγίου πνεύματος φθείρῃ τις· εἰς τὸν πατέρα δέ, ὅτε τὸν ναὸν τοῦ θεοῦ φθείρω. Πρὸς τούτοις οὖν ὅσα ἂν ἁμάρτωμεν, κἂν φόνους ποιήσωμεν, ἄφθοροι δὲ ὦμεν, φθορᾶς μὴ γευσάμενοι τῆς κατὰ τὴν συνουσίαν, οὐ λεγόμεθα ἐφθάρθαι ἐκ τοῦ πεφονευκέναι. ἀλλ' ἐπεὶ καὶ ἡ ἀφθαρσία καὶ ἡ φθορὰ περὶ τὴν φύσιν τὴν ἄγευστον συνουσίας τῆς περὶ τὰ ἀφροδίσια ἐστίν—'Εφθάρη γὰρ ἡ παρθένος, λέγομεν· καὶ πάλιν Ἄφθορος ὁ νεανίσκος, ἢ ἐφθάρη—πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν. ἐπειδὴ οὖν ἐδόθη λύτρον ὑπὲρ ὑμῶν τὸ αἷμα τοῦ χριστοῦ καὶ ἔλαβεν ὑμᾶς ἀπὸ τῆς ἐξουσίας τοῦ διαβόλου, δοξάσατε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, ἵνα γένηται τὸ σῶμα ὑμῶν ἄξιον μακαριότητος ὡς ἀγαπησάντων τὴν ἀφθαρσίαν, ὡς καὶ ὁ ἀπόστολος λέγει ἡ χάρις τοῦ θεοῦ μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ.

XXXII 18. Eph. vi 24

CLAUDE JENKINS.

# SOME COPTIC APOCRYPHAL LEGENDS.

VON LEMM in one of his latest Coptic works[1] has pointed out that the Coptic fragment Borg. ccxci, now at Naples, and Par. Copte 129[18] 95–97 belong to the same book, a book treating of the main biblical characters one by one in sections varying from a few lines to a few pages. The Naples fragment I had already copied some years ago but not published, as alone it is of no particular interest. It gives the ordinary biblical account of Moses and Joshua, merely weaving texts into what is perilously near to a sermon. The Paris fragment, on the contrary, proves of considerable interest, as it treats of the Apostles, employing apocryphal legends as well as the Bible. Unfortunately, it is a mere fragment, passages on Andrew, James the brother of John, John, Thomas, Bartholomew, Matthew, and Jude being all that remain, and even those are not in all cases complete. In four cases only—James, Thomas, Bartholomew, and Matthew—legendary matter is preserved; and generally, as one would anticipate, it agrees with the accounts found in the Arabic and Ethiopian versions of the legends of the Apostles. Two, however, of the sections, those on Bartholomew and Matthew,

[1] *Kleine Kopt. Stud.* xxvi–xlv, *Bull. de l'Acad. Imp. de Saint-Pét.* xxi (1904).

# *DOCUMENTS*

## ORIGEN ON I CORINTHIANS.

## III.

### § XXXIII.

vii 1–4 [**Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλ᾽ ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλ᾽ ἡ γυνή.**]

[Ὠριγένους]

121 *Οἱ ἄνθρωποι ἁμαρτάνοντες γενικῷ λόγῳ διχῶς ἁμαρτάνουσιν, ὑποβαίνοντες τὰς ἐντολὰς ἢ ὑπερβαίνοντες. ὅταν γὰρ μὴ ἀπὸ ἐπιστήμης πολιτευώμεθα μηδὲ γινώσκοντες τὰ μέτρα τῆς δικαιοσύνης σφαλλ⟨ό⟩μεθα, καὶ ἔσθ᾽ ὅτε ὑπερβαίνοντες τὸν κανόνα φαντασίᾳ τοῦ ποιεῖν τι κρεῖττον ἐκπίπτομεν τοῦ προκειμένου.* στάθμιον *οὖν ἐστιν, ὃ* οὔτε μέγα *ἐστὶν* οὔτε μικρὸν *ἀλλὰ σύμμετρον, τὸ εἰδέναι πῶς δεῖ βιοῦν.* Δέδεσαι *μετὰ γυναικός· ἓν στάθμιον μέγα ποιεῖς, οὐ φροντίζεις τῆς γυναικὸς ἀλλὰ λέγεις Ἐγὼ δύναμαι ἐγκρατεύεσθαι καὶ ζῆν καθαρώτερον· ἀλλ᾽ ὅρα ὅτι ἡ γυνή σου* ἀπόλλυται, *οὐ δυναμένη φέρειν τὴν καθαρότητά σου, δι᾽ ἣν* Χριστὸς ἀπέθανεν.

*Τοιοῦτόν τι γέγονεν ἐν Κορίνθῳ, καὶ ἦν ἀκαταστασία ἐν ταῖς οἰκίαις τῶν ἀδελφῶν, πῇ μὲν ἀνδρῶν πῇ δὲ γυναικῶν ἐγκρατεύεσθαι πειρωμένων καὶ ἀλλήλων κατεξανισταμένων. ἔγραψαν οὖν περὶ τούτου ἐπιστολὴν οἱ ἐν Κορίνθῳ τῷ ἀποστόλῳ, καὶ πρὸς τὴν ἐπιστόλην ταύτην ἀντιγράφει ὁ ἀπόστολος τὰ προγεγραμμένα· καὶ οὔτε ἐπέτεινεν τὸν περὶ ἁγνείας λόγον καὶ ἀνεῖλεν τὸν περὶ γάμου, οὔτε τ⟨ὸ⟩ν περὶ γάμου προκρίνας ἀνεῖλεν τὸν περὶ παρθενίας, ὡς* καλὸς οἰκονόμος, *ἀλλὰ τηρεῖ δι᾽ ὅλου τοῦ λόγου τὸ βούλημα αὐτοῦ τινα τρόπον καὶ προτρέπεται καθαρεύειν· καὶ συγχωρήσας συγκαταβαίνειν, προτρέπεται πάλιν ἀσκεῖν τὴν ἁγνείαν· καὶ προτρεψάμενος ἀσκεῖν τὴν ἁγνείαν, πάλιν φέρει ἐπὶ τὸ δεῖν τῇ ἀσθενείᾳ συγκαταβαίνειν τῶν ἀσθενεστέρων. ἤρξατο δὲ οὐκ ἀπὸ τῶν ὑποδεεστέρων, οὐ γὰρ ἔπρεπεν, ἀλλ᾽ ἀπὸ τῶν τελειοτέρων πραγμάτων, λέγων* **Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι·** *οἷον· Ἐπαινῶ ὑμᾶς ὅσον ἐπὶ τῷ ἠθεληκέναι ἁγνεύειν τοὺς ἀποστάντας τῆς*

XXXIII 6. Prov. xx 10 7. 1 Cor. vii 27 9–10. Cf. Rom. xiv 15 17. 1 Pet. iv 10

XXXIII 4. *σφαλλώμεθα* MS: lege *σφαλλόμεθα* 16. *τὴν* MS per incur.

*μίξεως τῆς πρὸς τὴν γυναῖκα, ἀλλὰ λογίσασθε* μὴ τὸ ἑαυτῶν *μόνον* ἀλλὰ καὶ τὸ *τῆς γυναικός*· Ἡ *γὰρ* ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς· **διὰ** *γοῦν* **τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα.** *οὐ διὰ τὴν ἑαυτοῦ πορνείαν ὁ ἰσχυρότερος* **τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω,** *ἀλλὰ μή πως πορνεύσῃ τῇ ἐγκρατείᾳ ⟨τοῦ ἀνδρὸς ἡ γυνὴ καὶ τῇ ἐγκρατείᾳ⟩ τῆς γυναικὸς ὁ ἀνήρ. αἱρετώτερον γὰρ τοὺς δύο σωθῆναι εὑρισκομένους ἐν τοῖς ἔργοις τοῦ* 122 *γάμου ἢ τῇ προφάσει τοῦ ἑνὸς τὸν ἕτερον ἐκπεσεῖν τῆς ἐλπίδος τῆς ἐν Χριστῷ· πῶς γὰρ καὶ σωθήσεται ἔνοχος ὢν τῷ θανάτῳ τῆς γυναικός; οὐκ ἔστιν οὖν καθαρὰ ἡ σεμνότης τοῦ ἀνδρὸς ὅτε μὴ ἐκ συμφωνίας τῆς γυναικὸς γίνηται ἡ ἄσκησις ἀμφοτέροις ὑπὲρ τοῦ* σχολάσαι *ταῖς κατὰ θεὸν εὐχαῖς.*

[vii 3] **Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί.** *προενοήσατο καὶ τοῦ θεραπεῦσαι τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην καὶ το⟨ῦ⟩ εὐσχημονέστατα οἰκονομῆσαι τὸ κατὰ τοὺς τόπους· διόπερ εἶπεν* **ὀφειλὴν** *ὀφείλεσθαι ἀπὸ τοῦ ἀνδρὸς καὶ τῷ ἀνδρὶ ἀπὸ τῆς γυναικός. εἶτα ἵνα μὴ δυσωπήσῃ τοὺς ἐν γάμῳ ὡς δούλους ἀλλήλων τυγχάνοντας μὴ χωρὶς συμφωνίας ἥκειν ἐπὶ τὴν ἄσκησιν τῆς καθαρότητος φησίν·* **Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλ' ἡ γυνή.** *ἐξουσίαν οὖν ἔχει ὁ ἀνὴρ τοῦ σώματος τῆς γυναικός, καὶ ἐξουσίαν ἔχων ἐὰν θέλῃ μὴ χρήσθω τῇ ἐξουσίᾳ·* ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, *φησὶν ὁ ἀπόστολος, οἶμαι τοῦτο διδάσκων τ⟨ῷ⟩ λέγειν* μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ Κηφᾶς; *ἐξουσίαν οὖν ἔχει ἡ γυνὴ τοῦ σώματος τοῦ ἀνδρὸς καὶ οὐ δύναται μὴ χρήσασθαι τῇ ἐξουσίᾳ;*

Τὸ δὲ **ὁμοίως** δὶς *κείμενον δίδωσι νοεῖν ὅτι μὴ νομιζέτω ὁ ἀνὴρ ἐν τοῖς κατὰ τὸν γάμον πράγμασιν ὑπερέχειν τῆς γυναικός· ὁμοιότης ἐστὶ καὶ ἰσότης τοῖς γεγαμηκόσι πρὸς ἀλλήλους.*

## § XXXIV.

vii 5 [**Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν ἵνα σχολάσητε τῇ προσευχῇ καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε.**]

[Ὠριγένους]

Ὀφείλετε *γὰρ ἀμφότεροι εἰδέναι ὅτι οὐκ ἔστιν ἡ αὐτὴ εὐχὴ ἀπὸ καθαρότητος* 123 *ἀνδρὸς καὶ γυναικὸς καὶ εὐχὴ ἀπὸ κοινωνίας. εἰ γὰρ ἐπὶ τῶν εἰδώλων*

24. Phil. ii 4 25. 1 Cor. xiii 5 33. Cf. vii 5 infra 42. 1 Cor. ix 12 44 f. 1 Cor. ix 5

XXXIV. It is possible that the section Ὀφείλετε γὰρ . . . εἰς κρίμα; should be transferred to follow *ἐν καιρῷ εὐχῆς καὶ νηστείας* infra, but there is no break in the MS at that point.

28. *τοῦ ἀνδρὸς ἡ γυνὴ καὶ τῇ ἐγκρατείᾳ* suppleui : om. MS per homoeotel. ut uidetur 32. *ἡ σεμνότης τῆς τοῦ* MS per dittograph. 36. *τὸ* MS 42. *χρήσθω* MS : fortasse *χρῆσθαι* Turner 43. *τὸ* MS 46. *ἐξουσίᾳ·* MS : *ἐξουσίᾳ*; scripsi
XXXIV. Legimus in lemmate *ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε* sed uide infra

῞Ελληνες ἔστιν ὅτε ἁγνεύουσι, πόσῳ πλέον σὺ ὁ τῷ θεῷ τῶν ὅλων εὐχόμενος; καλὸν οὖν ἐστι συγκαταβαίνειν μὲν διὰ τὴν ἀσθένειαν, ἀνέχειν δὲ διὰ τὰς εὐχάς. καὶ Μωϋσῆς μὲν ἁγνίζει τὸν λαὸν καὶ λέγει τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί, ἵνα δυνηθῶσιν ἐκ τοῦ προκεκαθαρευκέναι ἀκροαταὶ γενέσθαι τοῦ θεοῦ. καὶ ἐν ταῖς Βασιλείαις δὲ ἁγίους ἄρτους βούλεται παραστῆσαι τῷ Δαυεὶδ φεύγοντι τὴν τοῦ Σαοὺλ ἐπιβουλὴν Ἀβιάθαρ ἢ Ἀβιμέλεχ ὁ ἱερεύς, καὶ βουλόμενος ἁγίους ἄρτους παραθεῖναι τί φησι πλὴν Εἰ καθαρὰ τὰ παιδάρια ἀπὸ γυναικός; οὐχ οἷον δὲ ἀπὸ ἀλλοτρίας γυναικὸς ἀλλ' ἀπὸ γαμετῆς. εἶτα ἵνα μὲν ἄρτους προθέσεως λάβῃ τις, καθαρὸς εἶναι ὀφείλει ἀπὸ γυναικός· ἵνα δὲ τοὺς μείζονας τῆς προθέσεως λάβῃ ἄρτους, ἐφ' ὧν ἐπικέκληται τὸ ὄνομα τοῦ θεοῦ καὶ τοῦ χριστοῦ καὶ τοῦ ἁγίου πνεύματος, οὐ πολλῷ πλέον ὀφείλει τις εἶναι καθαρώτερος, ἵνα ἀληθῶς εἰς σωτηρίαν λάβῃ τοὺς ἄρτους καὶ μὴ εἰς κρίμα;

[Ὠριγένους]

124 Οἱ πολλοὶ μὲν οἴονται τὸ **ἀποστερεῖν** ἐπὶ μόνου χρυσίου ἢ ἀργυρίου ἤ τινος τῶν τοιούτων λέγεσθαι· σαφῶς δὲ ὁ ἀπόστολος καὶ ἐπὶ τῶν ἐν γάμοις ὄντων καὶ ἀκαίρως καὶ χωρὶς συμφωνίας ἁγνείαν ἀσκούντων **ἀποστέρησιν** ὠνόμασεν. ἅπαξ δὲ ἁπλῶς ὁ τὸ ὀφειλόμενον μὴ **ἀποδιδοὺς ἀποστερεῖ** ἐκεῖνον ᾧ ὀφείλει, μὴ ἀποδιδοὺς τὸ ὀφειλόμενον. ἐνίοτε δὲ συγκλείεται ὁ ἄνθρωπος εἰς τὸ μὴ δύνασθαι ἅμα δύο ὀφειλὰς ἀποδιδόναι· διὸ γέγραπται ἵνα τὴν ἀναγκαίαν ἀποδῷ **ὀφειλήν**. ὃ δὲ λέγω οὕτως ἔσται σαφές· οὐκ ἔνεστι καὶ θεῷ ἀποδιδόναι δεόντως τὰς εὐχὰς καὶ ἀποδοῦναι τὴν ὀφειλὴν τὸν γεγαμηκότα τῇ γυναικί· διόπερ τὸ ὀφείλημα τὸ εἰς θεὸν ἐὰν ἐπείγῃ, δεῖ τὸ ἕτερον ἀποστερεῖν. ἄκουε γὰρ αὐτοῦ λέγοντος **Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν ἵνα σχολάσητε τῇ προσευχῇ καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε·** ὡς μὴ καθαρᾶς ἀναπεμπομένης τῆς εὐχῆς τοῖς καὶ συνεληλυθόσιν, εἰ καὶ νομίμως συνεληλύθασιν. ἀπέχεσθαι δὲ δεῖ γυναικὸς καὶ ἐν καιρῷ τῆς ἀφέδρου, καὶ εἰς μέγα γε ἔγκλημα λογίζεται τὸ συνέρχεσθαι γυναικὶ οὔσῃ ἐν τῇ ἀφέδρῳ. ἐν γοῦν τῷ καταλόγῳ τῶν ἀνδραγαθημάτων καὶ τῷ καταλόγῳ τῶν ἁμαρτημάτων παρὰ τῷ Ἐζεκιὴλ ἀναγέγραπται ὅτι καὶ πρὸς γυναῖκα ἐν χωρισμῷ οὐ μὴ προσέλθῃ. καὶ δεῖ καθαρεύειν πάντως καὶ ἀπὸ τῆς ἰδίας γυναικὸς ἐν καιρῷ εὐχῆς καὶ νηστείας.

125 [vii 5–6] **καὶ πάλιν,** φησίν, **ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν.**

Πανταχοῦ ἀνίησι διὰ τὴν ἀσθένειαν τὸν λόγον, καὶ πάλιν ἐπιτείνει διὰ τὸ ἐπιστρέψαι τοὺς ἀκούοντας τὸν λόγον.

[vii 7] **θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν. ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.**

XXXIV 6. Ex. xix 15  8. 1 Reg. xxi 4  12. 1 Reg. xxi 6, cf. Mc. ii 26  15. 1 Cor. xi 34  23. 1 Cor. vii 3  29. Cf. Lev. xv 19 sq. al.  31 f. Ezech. xviii 6, cf. Lev. xviii 19

13–14. The Eucharistic reference is noteworthy.

4. ῞Ελληνες MS: leg. fortasse *οἱ* ῞Ελλ.  11. *οἷον δὲ* MS: fortasse *οἷον δὴ* Turner

Πνέει χαρίσματος ὁ γάμος, ὅτε τὰ μέτρα τηρεῖται, τοῦ ἐκ συμφωνίας. καὶ ἀληθῶς ἔστιν εἰπεῖν ἐπὶ τινῶν ὅτι τούτῳ ὁ γάμος **χάρισμά** ἐστιν, ὅτε οὐκ ἀκαταστασία, ὅτε πᾶσα εἰρήνη, πᾶσα συμφωνία· εἰπεῖν μέντοιγε ὅτι **χάρισμα ἐκ θεοῦ** ἐστιν ὁ γάμος πιστοῦ πρὸς ἐθνικὴν καὶ ἐθνικοῦ πρὸς πιστήν; τοῦτο οὐκ ἂν εἴποιμι. οὐ γὰρ δύναται τὸ χάρισμα τοῦ θεοῦ φθάνειν ἐπὶ τοὺς ἐθνικούς· ἐὰν πιστεύσῃ, ἐὰν σωθῇ, τότε ἀρχὴν λήψεται τοῦ χαρίσματος.

Χρῶνται δὲ τῷ ῥητῷ τούτῳ καὶ οἱ ἀπὸ Μαρκίωνος, καὶ ἀναισθήτως κωλύουσι τὸν γάμον, λέγοντες τὴν ἁγνείαν πρόσταγμα εἶναι τοῦ ἄλλου θεοῦ ὃν ἀνέπλασαν παρὰ τὸν δημιουργόν. πλὴν ἐκ τοῦ ῥητοῦ ἔστιν αὐτοὺς συμβιβάσαι ὅτι κακῶς κωλύουσι τὸν γάμον, κακῶς καὶ διαιροῦσι τὴν θεότητα. **εἰ γὰρ χάρισμά ἐστι** τ⟨ῷ⟩ μὲν οὕτως τ⟨ῷ⟩ δὲ οὕτως, χάρισμά ἐστι καὶ ὁ γάμος· εἰ χάρισμα καὶ ὁ γάμος, κακῶς κωλύεται τὸ χάρισμα ὁ γάμος· **εἰ ὁ μὲν οὕτως ὁ δὲ οὕτως** ἀπὸ **θεοῦ**, δῆλον ὅτι εἷς θεὸς ὁ δεδωκὼς τὴν ἁγνείαν καὶ ὁ δεδωκὼς τὸν γάμον, καὶ εἷς ὁ τοῦ νόμου καὶ τοῦ εὐαγγελίου θεός ἐστιν, ὃν κατήγγειλαν πρότερον μὲν οἱ προφῆται ὕστερον δὲ Χριστὸς Ἰησοῦς.

## § XXXV.

vii 8–12 [**Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι. τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ ἀλλ' ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι—ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω—καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. τοῖς δὲ λοιποῖς λέγω ἐγώ, οὐχ ὁ κύριος.**]

[Ὠριγένους]

Τινὲς τῶν καθ' ἡμᾶς ὑπὲρ ἃ γέγραπται διδάσκουσι· καὶ οἰόμενοί τι ποιεῖν, 128
δέον προτρέπειν ἐπὶ μονογαμίαν μετὰ τοῦ μὴ βρόχον ἐπιτιθέναι τοῖς μὴ δυναμένοις, τοῦτο μὲν οὐ ποιοῦσιν, ἀνάγκην δὲ ἐπιτιθέασι καὶ θέλουσι μὴ συνάγειν τοὺς διγάμους μηδὲ κοινωνεῖν αὐτοῖς ὡς παραβεβηκόσιν, οὐκ αἰδούμενοι οὐδὲ τὰς τοῦ ἀποστόλου φωνάς. ὁ γὰρ λέγων **τοῖς ἀγάμοις καὶ ταῖς χήραις, εἰ οὐκ ἐγκρατεύονται γαμησάτωσαν**, ἄντικρυς ἐπέτρεψεν μετὰ τὸν πρῶτον γάμον μετὰ τὸ χηρεῦσαι γυναῖκα γαμῆσαι, μετὰ τοῦ λοιδορῆσαι τὸν γαμοῦντα, μετὰ τοῦ λοιδορῆσαι τὴν γαμουμένην· εἶπεν γὰρ **Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν**· ὅρα γὰρ εἰ μὴ ἤδη κατηγορία ἐστὶ τὸ μὴ ἐγκρατεύεσθαι, οἷον ἔστι λέγεσθαι ἀνθρώποις χριστιανοῖς **Κάλλιον γαμῆσαι ἢ πυροῦσθαι**, πύρωσιν ὀνομάσαντος αὐτοῦ τὴν ἐπιθυμίαν τῆς σαρκὸς μὴ σβεννυμένη⟨ν⟩ ὑπὸ τοῦ λόγου ἀλλὰ κρατοῦσαν τῆς ψυχῆς τοῦ ἁμαρτωλοῦ.

42. 1 Cor. xiv 33 XXXV 2. 1 Cor. iv 6 3. 1 Cor. vii 35 12. 1 Io. ii 16, cf. Gal. v 16 al.

XXXV 2 ff. Mr Turner suggests that this is perhaps a reference to Tertullian *De Monogamia*.

41. *τούτῳ* MS : *τούτων* Turner 50. *τῷ μὲν . . . τῷ δὲ* Armitage Robinson : *τὸ μὲν . . . τὸ δὲ* MS 52. *δῆλονοτι* MS XXXV. *καλὸν αὐτοῖς* : + *ἐστιν* MS in lemmate sed uide infra l. 31 8. *τὸ* Armitage Robinson : *τοῦ* MS 13. *σβεννυμένης* MS per incur.

Ἡμεῖς οὖν διδαχθέντες ὑπὸ τοῦ ἀποστόλου οὐ κωλύομεν τὴν διγαμίαν, συγκρίσει γὰρ πυρώσεως αἱρετωτέρα διγαμία· ὅταν δὲ κακοῖς συγκρινόμενον **κρεῖττον** εἶναί τι νομίζεται, ἐκεῖνο ἄντικρυς οὐκ ἔστι καλόν. οὐκ ἔστιν σωφροσύνη ὁ δεύτερος γάμος· οὐκ ἔστιν κατὰ φύσιν Ἀδὰμ τῷ πρωτοπλάστῳ· οὐ γὰρ δύναται τῇ δευτέρᾳ λέγεσθαι γυναικὶ Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἔσχεν Ἀβραὰμ καὶ τὴν Ἄγαρ, γέγονεν καὶ μετὰ τῆς Χεττούρας· ὅτε δὲ ἐτελεύτα, οὐδεμία ἐτέθη σὺν αὐτῷ ἀλλ' ἡ φύσει γυνή· Ἀβραὰμ γὰρ καὶ Σάρρα ἦν ἐν τῷ μνημείῳ. καὶ Ἰακὼβ δέ, †εἰ καὶ ἔσχεν μετὰ Ῥαχὴλ καὶ μετὰ Λίας† γεγένηται καὶ μετὰ τῶν παιδισκῶν, ἀλλ' ἐν τῷ μνημείῳ μόνη Λία ἐγένετο σὺν αὐτῷ.

†Μετὰ τοῦ τῆς τῶν πατέρων ἔσεσθαι οἰκονομίας μυστικῆς·† οὐ δήπου δὲ καὶ νῦν ὁ λαμβάνων δευτέραν λέγει ὅτι Τελῶ οἰκονομίαν μυστικήν. ἐλεύσεται γὰρ ὁ Παῦλος λέγων Λέγετέ μοι οἱ τὸν νόμον ἀναγινώσκοντες, τὸν νόμον οὐκ ἀκούετε; γέγραπται γὰρ Ὁ δεῖνα δύο υἱοὺς ἔσχεν, καὶ τὰ ἑξῆς· οὐ μέλλει καὶ ἐπ' αὐτοῦ λέγεσθαι Ἅτινά ἐστιν ἀλληγορούμενα, καὶ αὗται γάρ εἰσι δύο διαθῆκαι· ταῦτα γὰρ τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ δι' ἡμᾶς εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν.

**Λέγω δὲ ταῖς χήραις καὶ τοῖς ἀγάμοις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ.** τοῦτο δὲ δεύτερον **καλόν** ἐστιν· ἔστι γὰρ πρῶτον τούτου ἄλλο καλόν· **καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι.** ποῖον δεύτερον **καλόν; καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι.** διὰ τοῦτο οἱ ἐν γάμοις πρώτοις ὄντες καὶ μηδέπω πεπειραμένοι δευτέρων ἀσκείτωσαν τὴν ἁγνείαν, ἵνα ἐὰν γένηταί τι ἀνθρώπινον μὴ ἀνάσκητοι καταληφθέντες ἀσχημονήσωσιν. **κρεῖττον** οὖν **τὸ γαμῆσαι** δεύτερον γάμον, οὐ γὰρ τὸν πρῶτον λέγει ἐνθάδε ὡς δῆλόν ἐστιν ἐκ τῆς λέξεως τῆς **πυροῦσθαι.**

Ἐντεῦθεν εἰς ἑτέραν μεταβαίνει νομοθεσίαν· **Τοῖς δὲ γεγαμηκόσι**
128 **παραγγέλλω, οὐκ ἐγὼ ἀλλ' ὁ κύριος·** ἡ νομοθεσία ἡ πρὸς τοὺς γεγαμηκότας οὐκ ἀπ' ἐμοῦ ἐστιν, ἀλλ' ἀπὸ τοῦ κυρίου. ἅμα δὲ τηρεῖ ἀναγκαῖον παρατήρημα, ὅτι **γεγαμηκότας** ὠνόμασεν ὅταν ἀμφότεροι ὦσι πιστοὶ καὶ ὁ ἀνὴρ καὶ ἡ γυνή. ὅ⟨τ⟩ι δὲ τοὺς ἄλλους ὅσοι ἑτεροζυγοῦσιν οὐκ ὠνόμασεν ἐν γεγαμηκόσιν, δῆλον ἐκ τοῦ ἐπιφέρειν αὐτὸν **Τοῖς δὲ λοιποῖς λέγω ἐγώ, οὐχ ὁ κύριος.** οὔκουν **οἱ λοιποὶ** οὐκ εἰσὶ **γεγαμηκότες**; οὐ γὰρ μετρεῖ αὐτοὺς γεγαμηκότας· οὐ γὰρ ἐπὶ τούτων ἁρμόζεται γυνὴ ἀνδρὶ παρὰ θεοῦ· ἐπὶ δὲ τῶν πιστῶν, ὅτε

18. Gen. ii 23 26 f. Gal. iv 21–2 28 f. Gal. iv 24 29 f. 1 Cor. x 11
33. vii 1 supra 44, 58. 2 Cor. vi 14

21. *ἦσαν* Turner: *ἦν* MS fortasse recte 21–22. *ἔσχεν μετὰ Λίαν Ῥαχὴλ καὶ γεγένηται καὶ μετὰ τῶν παιδισκῶν* Turner: *ἔσχεν μετὰ Λίαν Ῥαχήλ, καὶ μετὰ Ῥαχὴλ γεγένηται κ.τ.λ.* Swete: *ἔσχεν Ῥαχὴλ καὶ μετὰ Λίας γεγένηται κ.τ.λ.* A. Nairne: fortasse *ἔσχεν μὲν καὶ Ῥαχὴλ μετὰ Λίας, γεγένηται καὶ κ.τ.λ.* 24. Deest aliquid ut uidetur: fortasse *Μὴ ταῦτ' οὖν φῇς . . . μυστικῆς*; cf. XXXVII 5. A. Nairne 42. fors. *τήρει* Turner 44. *ὅσοι* MS: *ὅτι* Turner 45. in lemmate *ἐγὼ λέγω* MS 46. *οὔκουν* scripsi: *οὐκοῦν* MS

*ἀμφότεροι κοινωνοῦσι καὶ εὐχῶν καὶ παιδοποιίας ἁγίας καὶ πάντων ὧν χριστιανοὺς κοινωνεῖν δεῖ, λέγει ὅτι ὁ γάμος οὐκ ἀλλότριός ἐστι θεοῦ.*

**Παραγγέλλω οὖν, οὐκ ἐγὼ ἀλλ' ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι.** *τὸ μὲν προηγούμενον τοῦτό ἐστιν, συζυγίαν φθάσασαν* ΔΕΔΈϹΘΑΙ ΜῊ ΛΥΘῆΝΑΙ.

**Ἐὰν δὲ καὶ χωρισθῇ·** *πολλὰ γὰρ ἂν γένοιτο αἴτια τοῦ καὶ χωρισθῆναι· οἷον πορνεία ἐὰν γέν⟨η⟩τ⟨αι⟩ τῇ γυναικί, ἁμαρτία ἐστὶ κατέχειν τὴν πεπορνευκυῖαν γυναῖκα.* **ἐὰν οὖν καὶ χωρισθῇ** *καὶ γέν⟨η⟩τ⟨αί⟩ τι ⟨αἴτι⟩ον χωρισμοῦ,* **μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω.** *ὁμοίως δὲ καὶ ἄνδρα θέλω τοιοῦτον εἶναι,* **ἵνα μὴ ἀφίῃ γυναῖκα.**

**Τοῖς δὲ λοιποῖς λέγω ἐγώ, οὐχ ὁ κύριος.** *τοῖς μὲν γεγαμηκόσιν οὐκ ἐγὼ νομοθετῶ, ἀλλ' ὁ κύριος· τοῖς δὲ μὴ γεγαμηκόσιν ἀλλ'* ΕΤΕΡΟΖΥΓΟΫ́ϹΙΝ ἈΠΊϹΤΟΙϹ *οὐκ ἔχω νόμον δοῦναι ἀπὸ θεοῦ· οὐδὲ γὰρ ἄξιοί εἰσι νόμων θεοῦ· ἀλλ' ἀκουέτωσαν ἡμῶν. καὶ χρήσομαι εἰς τὸ νοηθῆναι τὰ κατὰ τὸν τόπον γεγραμμένοις ἐν τῷ νόμῳ. οἱ νόμοι οἱ κατὰ* Μωσέα *οἱ μὲν θεοῦ εἰσιν, οἱ δὲ* Μωσέως. *καὶ τοῦτο ἐπιστάμενος ὁ κύριος διαφορὰν νόμων θεοῦ καὶ νόμων* Μωσέως *εἶπεν ἐπὶ μὲν τῶν ὑπὸ θεοῦ νενομοθετημένων* Ὁ ΓᾺΡ ΘΕῸϹ ΕἾΠΕΝ ΤΊΜΑ ΤῸΝ ΠΑΤΈΡΑ ΚΑῚ ΤῊΝ ΜΗΤΈΡΑ, *ἐπὶ δὲ τῶν ὑπὸ* Μωσέως ΜΩΫϹῆϹ *διὰ* ΤῊΝ ϹΚΛΗΡΟΚΑΡΔΊΑΝ ΥΜΩ͂Ν ἘΠΈΤΡΕΨΕΝ ΥΜῖΝ ἈΠΟΛΥ͂ϹΑΙ ΤᾺϹ ΓΥΝΑῖΚΑϹ. *τηρήσας γοῦν τὰ τοῦ* ΒΙΒΛΊΟΥ *τοῦ* ἈΠΟϹΤΑϹΊΟΥ *εὑρήσεις οὐκ ἐκ προστάγματος κυρίου τὸν νόμον γεγραμμένον.* Μωϋσῆς *μὲν οὖν ὑπηρετῶν θεῷ νόμους ἔδωκεν δευτέρους παρὰ τοὺς νόμους τοῦ θεοῦ·* Παῦλος *δὲ ὑπηρετῶν τῷ εὐαγγελίῳ νόμους ἔδωκεν δευτέρους τοῖς ἐκκλησιαστικοῖς μετὰ τοὺς νόμους τοὺς ἀπὸ
θεοῦ διὰ* Ἰησοῦ Χριστοῦ. *καὶ καλόν ἐστιν ἀκούειν νόμων ἀπὸ κυρίου* 129
*ἢ ἀκούειν νόμων* Παύλου *τοῦ ἀποστόλου. κἂν γὰρ ἅγιος ᾖ, ἀλλὰ πολλῷ* 71
*ὑποδεεστέρους ἔχει νόμους τῶν νόμων τοῦ κυρίου.*

## § XXXVI.

vii 14 [**Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀδελφῷ.**]

[Ὠριγένους]

*Ὡς κρᾶσίς τις γίνεται τῶν δύο, ἀνδρὸς καὶ γυναικός,* ΕἸϹ ϹΆΡΚΑ ΜΊΑΝ *ὥσπερ* 133
*οἴνου καὶ ὕδατος· καὶ ὥσπερ μεταδίδωσιν ὁ πιστὸς ἁγιασμοῦ τῇ ἐθνικῇ γαμετῇ, ἢ τὸ ἐναντίον ἡ πιστὴ τῷ ἀπίστῳ ἀνδρί, οὕτω καὶ ὁ ἄπιστος μεταδίδωσι μολυσμοῦ τῇ πιστῇ γυναικὶ ἢ τῷ πιστῷ ἀνδρὶ ἡ ἄπιστος γυνή· διὰ τί γὰρ φησὶν* **Ἡγίασται ἡ ἄπιστος** *ἢ* **ὁ ἄπιστος** *τ⟨ῷ⟩ λαμβάνειν τι ἀπὸ τοῦ πιστοῦ ἢ ἀπὸ τῆς πιστῆς, καὶ οὐχὶ βεβήλουται τ⟨ῷ⟩ λαμβάνειν τι ἀπὸ τοῦ ἀπίστου*

51. 1 Cor. vii 27 63. Matt. xv 4 (Ex. xx 12) 64. Matt. xix 8
66. Matt. xix 7 (Deut. xxiv 1, 3) XXXVI 2. Gen. ii 24

53. *γένηται* scripsi : *γένοιτο* MS 54. *γένηταί τι αἴτιον* scripsi : *γένοιτό τι ὂν* MS
66. *τὰς τοῦ* MS per incur. 70. leg. fortasse *κάλλιόν* 71. *ἣν* MS : *ᾖ* corr. m. p.
XXXVI 6, 7. *τῷ* scripsi : *τὸ* MS

μέρους; ἕκαστος γὰρ ἐκ τοῦ περισσεύματος τῆς καρδίας διαλεγόμενος τῷ ἑτέρῳ ἢ μεταδίδωσιν ἢ μεταλαμβάνει, καὶ τῷ χρόνῳ πάντως νικᾷ τὸ ἕτερον. καὶ τίς χρεία, φησί, τοιούτου ἀγῶνός τε καὶ κινδύνου; ἢ γὰρ ἐπιτεύξεται ἢ ἀποτεύξεται, καὶ ἤτοι τὴν ψυχὴν αὐτοῦ προσαπολέσει ἢ πολλὰ καμὼν μόγις κερδῆσαι δυνήσεται. διὰ τοῦτο καλόν ἐστι πρὶν προληφθῆναι ἄνθρωπον ἐπιμελῶς οὐ μόνον τοῦτο ἀλλὰ καὶ τὸ μέλλον σκοπεῖν, καὶ σκοπήσαντα ἢ μὴ γαμεῖν ἢ γαμοῦντα ἐν κυρίῳ γαμεῖν. γυνὴ γὰρ δέδεται ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνήρ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ. οὐκ ἀκούομεν τοῦ μόνον ἐν κυρίῳ, ἀλλὰ τὸ ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι ἀναγινώσκομεν, οὐκέτι δὲ συνετάξαμεν τὸ μόνον ἐν κυρίῳ. καίτοι γε κἀκεῖ ὅτε εἶπεν μόνον ἐν κυρίῳ, πάλιν ἀνέκρουσεν τὸν λόγον εἰπὼν μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην. τὸ οὖν εὐφημότερον εἰπὼν ὁ ἀπόστολος, τὸ Ἁγιάζεται γάρ, ἀφῆκεν ἡμῖν τὸ ἄλλο νοεῖν.

## § XXXVII.

vii 18–20 [**περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω· ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω. ἡ περιτομὴ οὐδέν ἐστι καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν θεοῦ. ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη ἐν ταύτῃ μενέτω.**]

['Ωριγένους]

137 Δόξει ἀκαίρως παραβεβληκέναι τῷ περὶ γάμου καὶ ἁγνείας λόγῳ, μηδεμιᾶς ζητήσεως γενομένης περὶ τοῦ μὴ δεῖν τοὺς ἐκ περιτομῆς πιστεύοντας **ἐπισπᾶσθαι** καὶ πάλιν τοὺς ἐν ἀκροβυστίᾳ **περιτέμνεσθαι**, καὶ τὸ περὶ τοῦ δοῦλος ἐκλήθης; μή σοι μελέτω, καὶ τὰ ἑξῆς. μή ποτ᾽ οὖν παράδειγμα ἔλαβεν τὴν δουλείαν καὶ τὴν ἐλευθερίαν τῶν γεγαμηκότων καὶ ἀγάμων, **περιτετμημένον** μὲν καλῶν τὸν ἀποβεβληκότα τὴν γυναῖκα ἀπερίτμητον δὲ τὸν γεγαμηκότα; ὡς γὰρ ἔσονται οἱ δύο εἰς σάρκα μίαν καὶ εἰσὶ μία σὰρξ ἡ γυνὴ καὶ ὁ ἀνήρ, ἀποβέβληκε δὲ τὰ τῆς σαρκὸς ὁ περιτετμημένος, οὕτως ὁ ἀποβαλὼν τὴν γυναῖκα καὶ οἱονεὶ περιτέτμηται τὴν σάρκα ἑαυτοῦ· οὕτω καὶ **δοῦλον** καλεῖ· ἐπ⟨ε⟩ὶ γάρ φησι καὶ ἐν ἄλλοις οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις, ὡς δούλων ὄντων τῶν γεγαμηκότων, διὰ τοῦτο καὶ ἐνθάδε **δοῦλον** ὀνομάζει τὸν μετὰ τὸν γάμον κεκλημένον, **ἐλεύθερον** δὲ τὸν ἄγαμον.

138 Λέγεται οὖν ὡς περὶ περιτομῆς καὶ περὶ δούλων τὰ εἰρημένα εἰς τὸν τόπον. πλὴν οὐκ ἄτοπόν ἐστι τῷ ῥητῷ χρήσασθαί ποτε πρὸς τοὺς οἰομένους μετὰ τὴν πίστιν δεῖν περιτέμνεσθαι ἐξ εὐλαβείας, εὐλαβείας δὲ τῆς οὐ κατ᾽ ἐπίγνωσιν, διὰ τὰ ἀναγεγραμμένα ἐν τῇ παλαιᾷ διαθήκῃ περὶ περιτομῆς. πάλιν οὐ καλόν ἐστι διά τινας τοὺς ἐκ περιτομῆς πιστεύοντας ⟨καὶ⟩ οἰομένους

8. Matt. xii 34 14 f. 1 Cor. vii 39 19. 1 Cor. vii 40 XXXVII 5 ff. 1 Cor. vii 21 8. Gen. ii 24 11. 1 Cor. vii 15 17–18. Rom. x 2

16. *οὐκ ἀκούομεν*: praem. *καίτοι γε κἀκεῖ* MS, sed punctis superscriptis notauit 17. *τό* scripsi: *τοῦ* MS 20. *'Αγιάζεται*: leg. fortasse *'Ηγίασται* XXXVII 11. *ἐπὶ* MS per incur. 19. *οἰομένους* MS: *καὶ οἰομένους* Swete

*αἰσχύνην φέρειν αὐτοῖς τὴν περιτομήν, καὶ βουλομένο⟨υ⟩ς ἀκροβυστίαν περισπᾶσθαι, χρῆσθαι ῥητῷ τῷ λέγοντι* **Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω;** *καὶ ἔχει γε λόγον λέγειν πρὸς τοὺς τοιούτους, ὅτι κατ' αὐτὸ ἡ περιτομὴ πρᾶγμα ἀδιάφορόν ἐστιν. οὔτε οὖν περὶ περιτομῆς νῦν ἐστιν οὔτε περὶ ἀκροβυστίας, ἀλλὰ περὶ τοῦ ἀγάμου καὶ τοῦ γεγαμηκότος·* **Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω·** *ὡσεὶ ἔλεγεν* **Μὴ ἐπισπάσθω** *γυναῖκα· ἤδη περιετμήθη· ἀπέβαλεν γυναῖκα, μὴ γαμείτω ἄλλην.* **Ἐν ἀκροβυστίᾳ ἐκλήθη τις; μὴ περιτεμνέσθω·** *οἷον· Ἐν γάμῳ ἐκλήθης; μὴ ἀπόβαλέ σου τὴν γυναῖκα.* **Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν.** *ἐπεὶ τινὲς οἴονται τὸν ἄγαμον πλέον τι ἔχειν κατὰ τοῦτο τοῦ γεγαμηκότος, τὸν δὲ γεγαμηκότα ἧττόν τι ἔχειν παρ' αὐτὸ τὸ γεγαμηκέναι τοῦ ἀγάμου, θέλομεν, φησί, διδάξαι ὅτι τῷ ἰδίῳ λόγῳ ἡ ἀγαμία ἀδιάφορόν ἐστιν καὶ τῷ ἰδίῳ λόγῳ ὁ γάμος ἀδιάφορό⟨ν⟩ ἐστιν. δύναται γὰρ καὶ ὁ ἄγαμος ὢν καὶ ἀληθῶς καθαρεύων ἀπὸ πάσης μίξεως, ἄλλως δὲ κακῶς βιούς, μὴ ὠφελεῖσθαι ἀπὸ τῆς ἀγαμίας· δύναται δέ τις καὶ ἐν γάμῳ ὢν καὶ τὰ τοῦ γάμου πράττων τάξει δὲ καὶ καιρῷ αὐτὰ ποιῶν, τὴν ἄλλην πολιτείαν σώζων, μὴ ἐλάττων εἶναι τοῦ ἀγάμου. ὅτι γὰρ ἀδιάφορόν ἐστιν ἡ ἀγαμία καὶ αὐτὴ ἡ καθαρότης, οὕτως ἀποδείξ⟨ο⟩μεν. εἰ μὲν μόνοι οἱ ἀπὸ τῆς ἐκκλησίας ἤσκουν τὴν ἀγαμίαν, ἦν ἂν εἰπεῖν ὅτι ἡ ἀγαμία τῷ ἰδίῳ λόγῳ καθαρόν τι καὶ θεῖον πρᾶγμά ἐστιν· νῦν δὲ ἔστιν εὑρεῖν καὶ μοχθηρᾷ προθέσει ἀγάμους. οἱ γοῦν ἀπὸ Μαρκίωνος ἀσκοῦσι καὶ αὐτοὶ τὴν ἀγαμίαν καὶ τὴν καθαρότητα, ἀλλ' οὐχ ὡς οἱ ἐκκλησιαστικοί· οὗτοι γὰρ ἵνα ἀρέσωσι τῷ κτίσαντι τὸν κόσμον θεῷ, ἐκεῖνοι δὲ ἵνα μὴ συνεργήσωσι τῷ τοῦ κόσμου θεῷ. κοσμεῖται δὲ ἡ ἀγαμία ἐκκλησιαστικῷ βίῳ καὶ λόγῳ, γνώσει καθαρᾷ καὶ ἀληθείᾳ. οὕτω καὶ ὁ ἄγαμος ἀδιάφορός ἐστι τῷ ἰδίῳ λόγῳ· ἔστιν δὲ καὶ ἐν γάμῳ ὄντα ἀνεγκλήτως εἶναι, καθὰ καὶ προαποδεδώκαμεν.* 139 **ἡ περιτομὴ οὖν οὐδέν ἐστι καὶ ἡ ἀκροβυστία οὐδέν ἐστι,** *καὶ κατὰ τὸ ῥητὸν καὶ κατὰ τὰ προκείμενα. ἀλλὰ τί ἐστι τὸ σῶζον;* **Τήρησις ἐντολῶν θεοῦ.** *πᾶς γὰρ* ὃϲ ἐὰν μίαν τῶν ἐντολῶν τούτων λύϲῃ τῶν ἐλαχίϲτων *καὶ* διδάξει οὕτωϲ τοὺϲ ἀνθρώπουϲ, *οὐκ εἶπεν Οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἀλλ'* ἐλάχιϲτοϲ κληθήϲεται ἐν τῇ βαϲιλείᾳ τῶν οὐρανῶν. *εἰ δὲ ὁ λύσας* μίαν τῶν ἐντολῶν τῶν ἐλαχίϲτων ἐλάχιϲτοϲ κληθήϲεται ἐν τῇ βαϲιλείᾳ τῶν οὐρανῶν, *ὁ δύο λύσας ἐντολὰς ποῦ εὑρεθήσεται;* **ἕκαστος οὖν ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω.** *ἐκλήθης ἐν γάμῳ; μὴ ζήλου τὸν ⟨ἄ⟩γαμον. ἐκλήθης ἄγαμος; μὴ πάντως ἐπισπῶ, εἰ δύνασαι καθαρώτερον ζῆν.*

## § XXXVIII.

vii 21–24 [**Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. ὁ γὰρ ἐν κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος κυρίου ἐστίν· ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστι Χριστοῦ. τιμῆς**

41. Cf. 1 Cor. vii 32 47 ff. Matt. v 19

20. *βουλομένοις* MS 31. *ἀδιαφορον . . . ἀδιαφορος* MS: leg. *ἀδιάφορον . . . ἀδιάφορον* (ut infra) aut *ἀδιάφορος . . . ἀδιάφορος* 36. *αὐτή* MS: leg. fortasse *αὕτη* *ἀποδείξωμεν* MS: *ἀποδείξομεν* corr. s. l. 52. *ἄγαμον* Armitage Robinson: *γάμον* MS

ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ θεῷ.]

[Ὠριγένους]

Δοῦλον ὠνόμασεν ἀναγκαίως τὸν γεγαμηκότα· δοῦλος γὰρ τῆς γυναικὸς ὁ ἀνήρ, μὴ ἔχων ἐξουσίαν τοῦ ἰδίου σώματος, καὶ τοῦ ἀνδρὸς ἡ γυνή· οὐκ ἐξουσιάζει γὰρ τοῦ ἰδίου σώματος ἀλλ' ὁ ἀνήρ. δοῦλος οὖν ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τοῦτ' ἔστιν, εἰ μὴ παρανομεῖς κατὰ τὸν λόγον, δύνασαι ἐλεύθερος εἶναι· πῶς; ἐκ συμφώνου ἵνα σχολάσητε τῇ προσευχῇ μετὰ πάσης ὁμονοίας.

Ὁ γὰρ ἐν κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος κυρίου ἐστίν· οἷόν· Ἐκλήθης δοῦλος; τοῦτο ἴσθι ὅτι οὐ μόνον οὐκ εἶ δοῦλος, ἀλλὰ καὶ ἔχεις τι ἐλευθερίας διὰ τὸν κύριον. ὁ γὰρ ἀπελεύθερος οὔτε καθαρῶς ἐλεύθερός ἐστιν οὐδὲ ἔτι δοῦλος, ὡς εἶναι τὸν μὲν καθαρὸν πάντῃ ἐλεύθερον τὸν δὲ ἐν γάμῳ δοῦλον· ὅταν δὲ ἐν κυρίῳ ᾖ δοῦλος, τότε λέγομεν ὅτι ἀπελεύθερος κυρίου ἐστίν. ὁ δὲ ἐλεύθερος κληθεὶς δοῦλός ἐστιν οὐ γυναικός, ἀλλὰ τοῦ λόγου τοῦ θεοῦ.

Τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. ὅση δύναμις νοήσατε τὸν ἐξαγοράσαντα ἡμᾶς τὸν λόγον τοῦ θεοῦ· τὸ αἷμα τὸ ἐκχυθὲν ὑπὲρ ἡμῶν ἐξευμενίσωμεν. Ἐλέγομεν ἐν τῷ λόγῳ τῷ περὶ ἀγάμων καὶ γεγαμηκότων ὅτι ἐπιτείνει καὶ ἀνίησι τὸν λόγον. οὕτως καὶ ἐνθάδε πεποίηκεν εἰπὼν Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· οἱονεὶ γὰρ ἐπιτείνει καὶ σφοδρότερον ποιεῖ τὸν λόγον, προτρεπόμενος τοὺς κατὰ τὸ δυνατὸν οἵους τε καθαρεύειν καὶ καθαρεύειν ἕκαστον ἐν τῇ κλήσει ᾗ ἐκλήθη.

Ἰστέον δὲ ὡς οἱ λοιποὶ ἑρμηνευταὶ περὶ ἀκροβυστίας καὶ περιτομῆς κατὰ τὸ ῥητὸν ἐκδεδώκασι τὴν ἔννοιαν· συνήθως γάρ, φασίν, ἀπὸ τοῦ προκειμένου εἰς ἕτερα μεταβαίνει, πᾶσι νομοθετῶν τὰ κατάλληλα.

## § XXXIX.

vii 25 [Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι.]

[Ὠριγένους]

Τῶν ἐντολῶν αἱ μὲν εἰσὶν ἐπιτεταγμέναι, αἱ δὲ οὐκ ἐπιτεταγμέναι ἀλλ' αὐτεξούσιοι καὶ τῇ προαιρέσει ἐπιτετραμμέναι ὑπὸ τοῦ θεοῦ. αἱ μὲν γὰρ αὐτῶν ὧν οὐκ ἔστιν ἄνευ σωθῆναι, αὗταί εἰσιν αἱ προστεταγμέναι· αἱ δὲ μείζονες τῶν προστεταγμένων, ἃς κἂν μὴ ποιήσωμεν σωζόμεθα, οὐκ εἰσὶν ἐπίταγμα τοῦ θεοῦ. ἄκουε γάρ, φησίν, τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ

XXXVIII 3. 1 Cor. vii 4   6. 1 Cor. vii 5   16. Cf. Gal. iii 13   16. Cf. Lc. xxii 20, Matt. xxvi 28, Mc. xiv 24   17–18. Cf. ad 1 Cor. vii 1–4, 5–6 supra

XXXVIII 17. For ἐξευμενίζω cf. *Contra Celsum* viii 64 (ed. Koetschau, p. 280) where it is applied to God.

XXXVIII 9. τί MS per incur.   XXXIX 6. suppl. fortasse ἢ καὶ ante Ἰ. Χ. Swete

διδάσκοντος ἐν αὐτῷ καὶ λέγοντος ὅταν ποιήσητε πάντα τὰ διατεταγμένα ὑμῖν, ὀφείλετε λέγειν Δοῦλοι ἀχρεῖοί ἐσμεν, ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν. καὶ εἰ, ἐὰν ποιήσω πάντα τὰ διατεταγμένα, δοῦλός εἰμι ἀχρεῖος, πότε φεύξομαι τὸ εἶναι δοῦλος ἀχρεῖος; ἐὰν φιλοτιμ⟨ό⟩τερος ὢν ἐπαναβαίνῃς ἀπὸ τῶν διατεταγμένων· οἷον· Τὸ οὐ μοιχεύσεις ἐὰν τηρήσω καὶ τὸ μὴ ἐμβλέψαι γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ὃ ὤφειλον ποιῆσαι πεποίηκα. ἐὰν δὲ παρθένος μείνω, 146
οὐ κελευσθεὶς οὐδὲ διαταχθείς, οὐκέτι λέγω ἐπὶ τῷ τῆς παρθενίας κατορθώματι Δοῦλοι ἀχρεῖοί ἐσμεν, ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν. οὕτως καὶ ἐπὶ τῶν λοιπῶν ἐντολῶν, ἐὰν μὴ ⟨κ⟩λέψω ἢ πλεονεκτῶ, ὀφείλομεν λέγειν ἀχρεῖοι δοῦλοι ἐσμέν. ἐὰν δὲ πωλήσω πάντα τὰ ὑπάρχοντά μου καὶ δώσω πτωχοῖς, οὐκέτι λέγω Ἀχρεῖός εἰμι, ὃ ὤφειλον ποιῆσαι πεποίηκα. διὰ τοῦτο λέγει ὁ ἀπόστολος **Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι.** ἐν γὰρ τῷ λέγειν τοῖς μαθηταῖς τὸν κύριον οὐ πάντες χωροῦσι τὸν λόγον ἀλλ' οἷς δέδοται καὶ ἐπιφέρει ὁ δυνάμενος χωρεῖν χωρείτω· οὐκ ἐπέταξεν, ἀλλ' αὐτεξούσιον εἴασεν. **Γνώμην** οὖν, φησὶν ὁ ἀπόστολος, **δίδωμι**, καὶ ἵνα παραστήσῃ ὅτι κύριος ἐν αὐτῷ λέγει εἶπεν **ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι.**

[vii 26] **Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι.**

**Ἀνάγκην** φησὶ τὴν ἐν τῷ σώματι διατριβήν, ὡς καὶ ἑτέρωθί φησι τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. τετράκις δὲ ἐν τῷ τόπῳ τὸ **καλὸν** ὠνόμασεν ὁ ἀπόστολος· φησὶ γὰρ πρῶτον μὲν καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· δεύτερον δὲ καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· τρίτον **Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην**· τέταρτον **Καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι.** ὁρᾷς, ὅσα περὶ ἁγνείας εἴρηται, ταῦτα μετὰ τοῦ **καλοῦ** ὠνόμασται· ὅσα δὲ περὶ τοῦ γάμου, μετὰ τοῦ μὴ ἁμαρτάνειν τὸν γαμοῦντα.

[vii 27] **Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.**

Δι' ὅλου τοῦ λόγου, καθὰ εἴρηται, ἐπιτείνει καὶ ἀνίησιν, ἵνα ὁ ἀκροατὴς ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ λαβὼν κρίνῃ εἴ τι δύναται καὶ ποίᾳ ἀσκήσει ἑαυτὸν ἐπιδοῦναι δυνηθῇ. οὕτως οὖν καὶ ἐνθάδε ἀπέτρεψε μὲν τοῦ **λύειν** τὸν γάμον, προτρέπεται δὲ πάλιν καθαρεύειν. οὐκοῦν **δεδεμένον** μὲν εἶπεν τὸν ἄνδρα τὸν γεγαμηκότα· εἰ δὲ περίστασίς ἐστι τὸ δεδέσθαι, καὶ δεῖ φεύγειν τὰς περιστάσεις ὅσῃ δύναμις. καὶ τὸ δεδέσθαι γυναικὶ μὴ ζήτει λύειν, ὁ δὲ μὴ δεδεμένος ὀφείλει φυλάττεσθαι ἵνα μὴ δεθῇ· ἀληθῶς γὰρ εὑρήσεις αὐτοὺς δεδεμένους τῷ φίλτρῳ τῷ γαμικῷ. οὐκ ἔξεστιν οὖν τὸν ἐν γάμῳ προληφθέντα ζητῆσαι ἄκαιρον ἐλευθερίαν, ἀλλὰ μένειν ἐν τῇ δουλείᾳ· καὶ εἰ λέλυταί τις, μὴ ζητεῖν 147
γυναῖκα.

XXXIX 7 f. Lc. xvii 10  11. Matt. v 27 (Ex. xx 14, Deut. v 18)  11–12. Matt. v 28  16 f. Cf. Matt. xix 21  20. Matt. xix 11  21. Matt. xix 12  26. Phil. i 24  28. 1 Cor. vii 1  29. 1 Cor. vii 8  35. uide supra ad 1 Cor. vii 1–4, 5–6, 21–24

10. φιλοτιμώτερος MS  14. ὠφείλομεν corr. ut uid.  15. βλέψω ut uid. MS  20. ἐπιφέρει MS : leg. fortasse ἐπιφέρειν  35. διόλου MS

[vii 28 *a*] **Ἐὰν δὲ καὶ γήμῃς,** *φησίν,* **οὐχ ἥμαρτες.** *οὐκ εἶπεν* Ἐὰν *γαμήσῃς, καλόν· ἀλλ'* **Ἐὰν γήμῃς, οὐχ ἥμαρτες·** *τήρει τὴν διαφοράν.* **καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν·** *οὐκ εἶπεν πάλιν* Καλόν, *ἀλλ'* **οὐχ ἥμαρτεν.**

[vii 28 *b*] **Θλίψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι.**

Πῶς *γὰρ οὐχ* **ἕξουσι θλίψιν** *ὅτε τὰ εἰρημένα πρὸς τὴν γυναῖκα ἔρχεται ἐπὶ τὴν γεγαμημένην* ἘΝ ΛΎΠΑΙΣ ΤΈΞῌ ΤΈΚΝΑ ΚΑῚ ΠΡῸΣ ΤῸΝ ἌΝΔΡΑ ΣΟΥ Ἡ ἈΠΟΣΤΡΟΦΉ ΣΟΥ ΚΑῚ ΑὐΤΌΣ ΣΟΥ ΚΥΡΙΕΎΣΕΙ. *τούτων δὲ πάντων ἐλευθέρα ἐστὶν ἡ παρθένος, ἐλευθερωθεῖσα ἀπὸ τῆς καθαρότητος, νυμφίον εὐλογίας περιμένουσα. πᾶς γάμος ἐν σκότῳ γίνεται, διὸ* ΜῊ ΚΟΊΤΑΙΣ ΚΑῚ ἈΣΕΛΓΕΊΑΙΣ· *ὁ δὲ* Χριστοῦ *γάμος, ὅταν ἀπολάβῃ αὐτοῦ τὴν ἐκκλησίαν, ἐν τῷ φωτὶ γίνεται. διὰ τί γὰρ μετὰ λαμπάδων καὶ ἐλαίου διαρκοῦντος εἰσέρχονται παρθένοι εἰς τὸν γάμον; διότι εὐσχημοσύνης ἐστὶν ὁ γάμος ἐκεῖνος. ὁ σαρκὶ* ΚΟΛΛΏΜΕΝΟΣ ἛΝ ΣῶΜΆ ἘΣΤΙΝ· *πνεύματι δὲ ὁ* ΚΟΛΛΏΜΕΝΟΣ ἛΝ ΠΝΕῦΜΆ ἘΣΤΙΝ. *τί δὲ εὐσχημονέστερον ψυχῆς πνεύματι κολλωμένης καὶ ἑνουμένης αὐτῷ, καὶ μηκέτι οὔσης ψυχῆς ἀλλὰ γινομένης ὅπερ τὸ πνεῦμα; ἐπὶ γὰρ τοῦ γάμου εἴρηται* ἜΣΟΝΤΑΙ ΟἹ ΔΎΟ ΕἸΣ ΣΆΡΚΑ ΜΊΑΝ· *ἐπὶ δὲ τοῦ ὁ* ΚΟΛΛΏΜΕΝΟΣ Τῷ ΚΥΡΊῼ *ἔσται* ἛΝ ΠΝΕῦΜΑ.

## § XL.

ix 7–9 [**Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; Μὴ κατὰ ἄνθρωπον λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται** ΟὐΦΙΜΏΣΕΙΣ ΒΟῦΝ ἈΛΟῶΝΤΑ.]

[Ὠριγένους]

167 Ὡς *μὲν στρατιώτης θεοσεβὴς φησὶν ὁ ἀπόστολος τὸ* **Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ;** *ὡς δὲ* ΘΕΟῦ ΓΕΏΡΓΙΟΝ *πεπιστευμένος καὶ γεωργῶν τὴν ἐκκλησίαν τὸ* **Τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;** *ὡς δὲ μαθητὴς* ΤΟῦ ΚΑΛΟῦ ΠΟΙΜΈΝΟΣ ΚΑῚ *τεθεικότος* ΤῊΝ ΨΥΧῊΝ ὙΠῈΡ ΤῶΝ ΠΡΟΒΆΤΩΝ *τὸ* **Τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;** *καὶ ὡς μὲν στρατιώτης διδάσκει καὶ ἡμᾶς στρατεύεσθαι λέγων* ΟὐΔΕῚΣ ΣΤΡΑΤΕΥΌΜΕΝΟΣ ἘΜΠΛΈΚΕΤΑΙ ΤΑῖΣ ΤΟῦ ΒΊΟΥ ΠΡΑΓΜΑΤΕΊΑΙΣ, ἽΝΑ Τῷ ΣΤΡΑΤΟΛΟΓΉΣΑΝΤΙ ἈΡΈΣῌ· *ὡς δὲ γεωργὸς διδάσκει καὶ ἡμᾶς γεωργεῖν·* ἘΓῺ ἘΦΎΤΕΥΣΑ, ἈΠΟΛΛῶΣ ἘΠΌΤΙΣΕΝ, ἈΛΛ' Ὁ ΘΕῸΣ ΗὔΞΑΝΕΝ. *περὶ δὲ ποιμένων οἱ προφῆται ἡμᾶς ἐδίδαξαν, τῶν ἀγαθῶν τοὺς μισθοὺς διηγούμενοι καὶ τῶν ἄλλως ποιμαινόντων τὰς κολάσεις ἀπαγγέλλοντες.*

Καὶ *δόξει μὲν ὁ ἀπόστολος διὰ τούτων τῷ μὴ προσέχοντι τῇ γραφῇ ἐπιλελῆσθαι τοῦ προκειμένου· τὸ δὲ ἀληθὲς οὐχ οὕτως ἔχει, ἀλλ' ἔχεται τοῦ λόγου. περὶ εἰδωλοθύτων πρόκειται αὐτῷ διδάσκειν, ἵνα κἂν γνῶσίν τις ἐπαγ-*

50. Gen. iii 16 53. Rom. xiii 13 54. Cf. Matt. xxv 1 56–7. Cf. 1 Cor. vi 16–17 59. Gen. ii 24 60. 1 Cor. vi 17 XL 3. 1 Cor. iii 9 5. Io. x 15 7. 2 Tim. ii 4 9. 1 Cor. iii 6 10–11. Cf. Is. lvi 11; Hier. xxiii 4, xxv 34, xxxiii 12; Ezech. xxxiv 2; Zeph. ii 6; Zech. x 3 al.

51. fors. *ἐλευθερωθεῖσα, ἀπὸ τῆς καθαρότητος νυμφίον κ.τ.λ.* Armitage Robinson XL 8. *ἀρέσει* MS*: *ἀρέσῃ* corr. s. l. 14. *τὶς* MS per incur.

γελλόμενος φάσκῃ μὴ βλάπτεσθαι ἀπὸ τῆς τῶν εἰδωλοθύτων χρήσεως αἰτία
δὲ ἑτέροις βλάβης γίν⟨η⟩ται, ὀφείλει πεφροντικέναι τοῦ πέλας, ἵνα μὴ τῇ
προφάσει αὐτοῦ ἄλλοι ἀπολλύωνται. εἰς τοῦτο παραλαμβάνει τὰ παρα-
δείγματα καὶ λέγει Οὐ πάντως ἐάν τινος ἐξουσίαν ἔχωμεν, ὀφείλομεν κατα-
χρᾶсθαι τῇ ἐξουсίᾳ. εἴτε γὰρ **στρατιώτης** ἐστίν, οὐ **στρατεύεται** ὥστε μηδὲν
**τοῖς ὀψωνίοις** περιποιεῖν ἑαυτῷ· εἴτε γεωργός, οὐκ ἀρκεῖται τῷ μισθῷ ἀλλ'
**ἐσθίει** ἀπὸ τῆς σταφυλῆς· εἴτε ποιμήν, πρὸς τῷ μισθῷ μεταλαμβάνει τοῦ
γάλακτος. οὕτως κἀγὼ ὀφείλω, πρὸς ταῖς ἀποκειμέναις μοι ἐπαγγελίαις ἐκ
τοῦ καλῶς ἐστρατεῦσθαι ἢ γεωργεῖν ἢ ποιμαίνειν, μεταλαμβάνειν ἐν τῷ κόσμῳ
τούτῳ τῶν πρὸς τὰς χρείας ἀπὸ τῶν ὑπ' ἐμοὶ στρατιωτῶν, τῶν γεωργουμένων,
τῶν ποιμαινομένων. ἀλλ' ὅμως, εἰ καὶ ἐξουσίαν ἔχω τῶν πρὸς τὰς χρείας, 168
σκοπῶν τὸ τῆς οἰκοδομῆς τῶν ἀνθρώπων οὐ καταχρῶμαι τῇ ἐξουσίᾳ, εὐλαβού-
μενος ἐκκοπήν τινα δοῦναι τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, ἢ καὶ διδόναι πρόφασιν τοῖς
περιπατοῦсιν ἀτάκτωс καὶ μηδὲν ἐργαζομένοιс ἀλλὰ καὶ περιεργαζομένοιс. ὥσπερ
οὖν ἐγὼ οὐ χρῶμαι τῇ ἐξουσίᾳ ᾗ ἔλαβον ἀπὸ τοῦ λόγου, τὸν αὐτὸν τρόπον καὶ
ὑμεῖς οἱ φάσκοντες εἶναι σοφοὶ ὀφείλετε μὴ χρ⟨ῆ⟩σθαι τῇ ἐξουσίᾳ ἀλλὰ προνο-
εῖσθαι τῆς **τῶν** πέλας οἰκοδομῆς. Εἰ δὲ ἀμάρτυρός τισιν ὁ λόγος εἶναι νομί-
ζεται καὶ κατὰ λογισμὸν ἀνθρώπινον λέγεσθαι, ἀκουέτω **τοῦ νόμου λέγοντος**
Οὐ φιμώсειс βοῦν ἀλοῶντα καὶ τὰ ἑξῆς.

## § XLI.

ix 9–11 [**Μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι μετέχειν. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;**]

[Ὠριγένους]

Οὐκοῦν δι' ἡμᾶς τοὺς τὴν καινὴν διαθήκην παρειληφότας εἴρηται ταῦτα, καὶ 169
περὶ ἀνθρώπων γέγραπται, πνευματικῶς τοῦ ῥητοῦ νοουμένου κατὰ τὸν θεῖον 170
ἀπόστολον. τίς δὲ ὁ νοῦς; **Ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν καὶ
ὁ ἀλοῶν ἐπ' ἐλπίδι μετέχειν.** ἀροτριᾷ Παῦλος ὁ γεωργὸς κατηχουμένου ψυχήν,
νεώματα ποιῶν ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὸν θεῖον Ἱερεμίαν τὸν φάσκοντα αὐτοῖς
Νεώсατε ἑαυτοῖс νεώματα, πρὸς ὑποδοχὴν δηλονότι σπερμάτων, περὶ ὧν
γέγραπται Ἐξῆλθεν ὁ сπείρων τοῦ сπεῖραι. καὶ μετὰ τοῦ σπεῖραι τὰ νεωθέντα
Ἐπιτηρῶ, φησί, τὰ σπέρματα, μήποτε ἐλθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἄρῃ τὸν

18–19. Cf. 1 Cor. ix 18 22. Cf. 2 Tim. iv 8 26. 1 Cor. ix 18 27. 1 Cor. ix 12 28. 2 Thess. iii 11 33. Deut. xxv 4, cf. 1 Cor. ix 9 infra, 1 Tim. v 18 XLI 6–7. Hier. iv 3 8. Matt. xiii 3, Mc. iv 3, Lc. viii 5 9. Matt. xiii 4

15. *αἰτίας* MS : leg. *αἰτία* cum MS Vat. gr. 692, nisi uelis *αἴτιος* 16. *γίνηται* scripsi : *γίνεται* MS 19. *μὴ δ' ἐν* MS ut uid. 21. *μεταλαμβάνειν* : + *καὶ* Vat. gr. 692 23. *ἐστρατευέσθαι* (*sic*) MS 29. *ἢ* MS = *ᾗ* : leg. fort. *ἣν* 30. *χρᾶσθαι* MS XLI 4. *ἐπ' ἐλπίδι ὠφείλει* MS, in lemmate 5. *ἐπ' ἐλπίδι μετέχειν* MS : in lemmate autem *τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι* 6–7. *ποιῶν* . . . νεώματα omissa per homoeotel. addidit in marg. m. p. 7. *δῆλονοτι* MS

σπόρον· καὶ ὅταν καρποφορήσῃ καὶ ποιήσῃ καρποὺς δικαιοσύνης καὶ ὅτ⟨ε⟩ λευκή ἐστιν ἤδη πρὸς θερισμόν, ἔξεστί μοι λοιπὸν λαβεῖν. οὐ γὰρ σκανδαλισθήσεται ἐπὰν μνησθῇ ὅσα κέκμηκα, ἵνα αὐτοῦ τὴν ψυχὴν ἀροτριάσω, ἵνα σπείρω, πῶς ἐπέμεινα μέχρις οὗ ἔλθῃ ὁ σπόρος αὐτοῦ τελειωθεὶς ἐπὶ τὴν ἅλω. καὶ διὰ τοῦτο λαμβάνειν μοι ἔξεστιν ἀπ᾽ αὐτοῦ τροφάς. ἀλλ᾽ οὐ πάντως κέχρημαι τῇ ἐξουσίᾳ, ἀλλ᾽ **ἐπ᾽ ἐλπίδι** τοῦτο ποιῶ, παραστῆσαι τὸ γέννημα τῷ οἰκοδεσπότῃ· γεωργὸς γάρ εἰμι· οὐχ ἵνα τὰ ὀφειλόμενα ἀποδοθῆναι τῷ θεῷ εἰς τὰς ἐμὰς λάβω ἀποθήκας. εἶτά τι περὶ τοῦ αὐτοῦ ὁ ἀπόστολος διδάσκων φησὶν **Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα;** καὶ τὰ ἑξῆς.

## § XLII.

ix 16 [**Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοι ἐστὶν ἐὰν μὴ εὐαγγελίζωμαι. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.**]

[Ὠριγένους]

176 Διδασκόμεθα ὅτι ὅσα **ἐξ ἀνάγκης** ποιοῦμεν, ταῦτα οὐκ ἔχει **καύχημα**· ὅσα δὲ προαιρέσει ποιοῦμεν, οὐκ **ἐπικειμένης ἀνάγκης**, ταῦτα ἔχει **καύχημα**. οἷον· ὁ μὴ μοιχεύων ἢ φονεύων ⟨οὐκ⟩ ἔχει καύχημα, ἀλλ᾽ ὁ παρθενεύων· οὐ γὰρ ἐξ ἀνάγκης ἦλθεν εἰς τὸ παρθενεύειν ἀλλ᾽ ἐκ προαιρέσεως. ὅπου δὲ τὸ **Οὐαὶ** παράκειται **ἐὰν μὴ** ποιῶ, οὐκ ἔχω **καύχημα**. διὰ τοῦτο φησὶν **Εἰ μὲν ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.** Πάλιν καθολικὸν διδασκόμεθα. τινὰ ποιοῦμεν ἑκόντες ὅλῃ ψυχῇ, τινὰ δὲ ποιοῦμεν μέν, οὐχ ἑκόντες δὲ ἀλλ᾽ οὐδὲ ἐν ὅλῃ ψυχῇ, ἀλλ᾽ ἐκ λύπης ἢ ἐξ ἀνάγκης. τῶν μὲν γὰρ ἑκουσίως ὑφ᾽ ἡμῶν γινομένων ἐστὶ **μισθός**· τῶν δὲ γινομένων μέν, ὡς ἐκ λύπης δέ, οὐδὲ μισθὸς οὐδὲ κόλασις. οἷον· Ἐλεημοσύνην ποιῶ· εἰ ἑκών, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οὐκ ἐγκαλοῦμαι μετὰ τῶν ἀκουόντων Ἐπείνων καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν καὶ τὰ ἑξῆς. **οὗτος** οὖν ἐστιν ὁ μισθός, ἵνα ὅπου ἐξουσίαν ἔχω μὴ ποιήσω.

## § XLIII.

ix 19–23 [**Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω· καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον ⟨μὴ ὢν αὐτὸς ὑπὸ νόμον⟩, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεῷ ἀλλ᾽ ἔννομος Χριστ⟨οῦ⟩, ἵνα κερδήσω ἀνόμους· ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. ⟨πάντα⟩ δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι.**]

[Ὠριγένους]

177 Τὸ **ἐκ πάντων** εἶναι **ἐλεύθερον** ἀποστόλου ἐστὶ τελείου. δύναται γάρ τις

10. Cf. Iac. iii 18   11. Io. iv 35   XLII 12. Matt. xxv 42

10. *ὅτε* scripsi : *ὅτι* MS   11. *λευκή* sc. *ἡ χώρα*   17. *τί* MS   XLII. 4. *om.* *οὐκ* MS male   8. *τίνα . . . τίνα* MS : leg. *τινὰ . . . τινὰ*   12. *ἐπί||νων* MS per incur.

ἐλεύθερος εἶναι ἀπὸ πορνείας ἀλλὰ δοῦλος ὀργῆς, ἐλεύθερος ἀπὸ φιλαργυρίας ἀλλὰ δοῦλος κενοδοξίας· δύναται εἶναι ἐλεύθερος ἀπὸ ἄλλου ἁμαρτήματος, ἀλλὰ δοῦλος ἄλλου ἁμαρτήματος. τὸ δὲ εἰπεῖν **Ἐλεύθερος ὢν ἐκ πάντων** ἀποστόλου τελείου ἐστίν· ὁποῖος ἦν Παῦλος. κατὰ δὲ τὸ προκείμενον τοιοῦτον νοῦν ἔχει· **Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω. ἐλεύθερος γὰρ ὢν** ἀπὸ Ἰουδαϊσμοῦ, **ἐδούλωσα** ἐμαυτὸν Ἰουδαίοις, **ἵνα Ἰουδαίους κερδήσω· ἐλεύθερος ὢν** ἀπὸ τοῦ εἶναι **ὑπὸ νόμον** ἐμαυτὸν ἐποίησα **ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω.** συγκατέβαινεν γὰρ ὁ Παῦλος εἰς συναγωγὰς Ἰουδαίων, εἰσήρχετο πρὸς αὐτούς, ἐποίει κατὰ τὰ ἔθη αὐτῶν χωρὶς βλάβης, οὐ συνυποκρινόμενος ἀλλὰ θηρεύων τινὰς ἐξ αὐτῶν.

Τινὲς ἐζήτησαν τίς ἡ διαφορὰ τῶν ὑπὸ τ⟨ὸ⟩ν νόμ⟨ο⟩ν παρὰ τοὺς Ἰουδαίους· 178
φαμὲν οὖν ὅτι οἱ **ὑπὸ τὸν νόμον** ἕτεροι Ἰουδαίων εἰσίν, ὡς Σαμαρεῖς.

**Τοῖς ἀνόμοις ὡς ἄνομος**· ἦλθεν εἰς τὰς Ἀθήνας· εὗρεν ἐκεῖ φιλοσόφους· ἐχρήσατο οὐ προφητικοῖς λόγοις οὐδὲ νομικοῖς, ἀλλ' εἴ που ἦν ἐκ προπαιδεύσεως μάθημα Ἑλληνικὸν τοῦτο ὑπομνησθεὶς ἔλεγεν πρὸς Ἀθηναίους· φησὶ γὰρ Ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν Τοῦ γὰρ καὶ γένος ἐσμέν. ἐκεῖ **τοῖς ἀνόμοις** γέγονεν **ὡς ἄνομος, ἵνα τοὺς ἀνόμους** κερδήσῃ. καὶ πάλιν φησὶ Διερχόμενος καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο Ἀγνώστῳ θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. καὶ διὰ τούτων ἄρχεται θεοσέβειαν παραδιδόναι. **Τοῖς οὖν ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεῷ.** οὐκ ἐν τῷ συγκαταβαίνειν αὐτοῖς ἀνομίαν τινὰ ἐποίουν, ἀλλ' ἐτήρουν ἐμαυτὸν **ἔννομον Χριστοῦ, ἵνα κερδήσω τοὺς ἀνόμους.** ἅμα δὲ τηρεῖ καὶ τὸ ἀκριβὲς αὐτοῦ· **Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος**· οὐκ εἶπεν ἐνθάδε, Μὴ ὢν Ἰουδαῖος. Ἰουδαῖος γὰρ ἦν ἐν τῷ κρυπτῷ, οὐκέτι ἐν τῷ φανερῷ. καὶ πάλιν **Τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον**· ἀναγκαίως ἐνθάδε ἔθηκεν τὸ **Μὴ ὢν ὑπὸ νόμον**· Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· ὡσανεὶ ἔλεγεν, Μὴ ὢν Σαμαρεύς.

**Τοῖς δὲ ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεῷ.** ἀλλ' ὑπολήψεταί μέ τις ἀποστάτην τοῦ νόμου γεγονέναι καὶ ἄνομον τῷ θεῷ· φημὶ δὲ ὅτι εἰ καὶ μὴ τηρῶ τὸν νόμον κατὰ τὸ ῥητὸν οὐκ εἰμὶ ἄνομος τοῦ θεοῦ ἀλλ' ἔννομός εἰμι τοῦ **Χριστοῦ** τηρῶν τὴν πολιτείαν τὴν κατὰ τὸ εὐαγγέλιον, **ἵνα κερδήσω τοὺς ἀνόμους.**

**Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής**· οὐκ εἶπεν ἐνθάδε Μὴ ὢν αὐτὸς ἀσθενής· ἀλαζονικὸν γὰρ ἦν, ὑπερήφανον ἦν, οὐκ ἦν κατὰ τὸν ἀπόστολον εἰπεῖν Οὐκ ὢν αὐτὸς ἀσθενής, τὸν ἀπὸ κυρίου ἀκούσαντα ὅτι Ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται καὶ διὰ τοῦτο ἐν ἀσθενείαις καυχώμενον. πῶς δὲ **Τοῖς ἀσθενέσιν**
ἀσθενής; ὅτε ἐπιτρέπει τοὺς πυρουμένους γαμεῖν, ὅτε συμπάσχει ταῖς ἀπο- 179
βαλούσαις ἄνδρας, ὅτε φησὶ Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω

XLIII 18. Act. Ap. xvii 28    20 f. Act. Ap. xvii 23    28. Gal. iii 13    36. 2 Cor. xii 9    37. 2 Cor. xii 5    38. Cf. 1 Cor. vii 9    39 f. 1 Cor. vii 2

4. εἶναι ἐλεύθερος εἶναι MS    13. τῶν νόμων MS    22. μὴ ὢν ἄνομος θεοῦ MS: desunt in lemmate    24. Χριστοῦ MS: in lemmate Χριστῷ    τηρεῖ MS: leg. fortasse τήρει

καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω καὶ τὰ λοιπά. ἐν τούτοις ἐγένετο τοῖς ἀσθενέσιν ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ.

Εἶτα μετὰ ταῦτα λέγει Τοῖς πᾶσι γέγονα τὰ πάντα ἵνα πάντας ἢ τινὰς σώσω. Ὃν ἐὰν λάβῃς ἄνθρωπον, ἓν τῶν πέντε ἐστίν· ἢ γὰρ Ἰουδαῖός ἐστιν, ἢ ὑπὸ νόμον, ἢ ἄνομος, ἢ ἀσθενής, ἢ πάντα ἐστίν. ὁ τέλειος πάντα ἐστίν· τοῖς οὖν πᾶσι, τοῦτ᾽ ἐστὶ τοῖς τελείοις, γέγονα τέλειος, ἵνα πάντας κερδήσω. Σοφίαν γάρ φησι λαλοῦμεν ἐν τοῖς τελείοις καὶ τὰ ἑξῆς. οὗτος δύναται εἰπεῖν Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί.

[Ὠριγένους]

180 Μόνος ὁ τέλειος δύναται εἰπεῖν τὴν τοῦ τελείου ἀποστόλου ἐν κυρίῳ φωνὴν τὴν Πάντα ποιῶ διὰ τὸ εὐαγγέλιον. ὁ γὰρ ἁμαρτάνων οὐ δύναται τοῦτο εἰπεῖν. εἰ δὲ ὁ πάντα ποιῶν διὰ τὸ εὐαγγέλιον κοινωνός ἐστι τοῦ εὐαγγελίου, ὁ ποιῶν δὲ τὴν πορνείαν κοινωνός ἐστι τῆς πορνείας τοῦ πνεύματος, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων παθῶν, ἕκαστος οὖν κοινωνὸς ἐκείνῳ ᾧ ἐκοινώνησεν γίνεται. ἀλλ᾽ ἐρεῖ τις τῶν ἀκουόντων Ὁ βίος μου μικτός ἐστιν· οὔτε πάντα ποιῶ διὰ τὸ εὐαγγέλιον, οὔτε πάντα ποιῶ διὰ τὴν ἁμαρτίαν καὶ τὴν ἡδονήν. πρὸς τοῦτο φήσομεν Ταῦτα ὁ θεὸς τὰ κρίματα ἔχει· κατὰ τὰ κρίματα τὰ πολλὰ ποικίλα ἀποδίδωσι.

§ XLIV.

ix 24 [Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτως τρέχετε, ἵνα καταλάβητε.]

[Ὠριγένους]

182 Ἆρ᾽ οὖν πάντες ἡμεῖς τρέχομεν καὶ εἷς λαμβάνει τὸ βραβεῖον, καὶ οἱ λοιποὶ ἀπολλύμεθα; ἕνα γὰρ εἶπεν τὸν λαμβάνοντα τὸ βραβεῖον, πολλῶν τρεχόντων. πάντες οἱ σωζόμενοι ἕν εἰσιν καὶ ἓν σῶμα· οἱ γὰρ πάντες εἷς ἄρτος ἐσμὲν καὶ τοῦ αὐτοῦ ἄρτου μετέχομεν, καὶ πάντες ἐστὲ σῶμα Χριστοῦ. πάντες οὖν οἱ σωζόμενοι, εἷς ἐστὶν ὁ λαμβάνων τὸ βραβεῖον. ἐν τῷ σταδίῳ οὖν πάντες τρέχουσιν, ὅσοι πρὸς δόγμα πολιτεύονται· καὶ οἱ ἀπὸ τῶν αἱρέσεων πρὸς δόγμα πολιτεύονται, καὶ Ἰουδαῖοι τάχα, καὶ οἱ τὰ Ἑλλήνων πρὸς δόγμα πολιτεύονται φιλοσοφοῦντες. καὶ οὗτοι εἰσὶ πάντες οἱ ἐν σταδίῳ τρέχοντες· τρέχει καὶ ἡ ἐκκλησία· ἀλλ᾽ εἷς λαμβάνει τὸ βραβεῖον ὁ εἷς ἄνθρωπος, περὶ οὗ φησὶν ὁ ἀπόστολος Μέχρι καταντήσωμεν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. πᾶσαν δὲ κρίσιν τοῦ θεοῦ δεῖ εὑρεθῆναι περὶ πάντας τοὺς ἐν τῷ σταδίῳ τρέχοντας, ἵν᾽ ὁ μέν τις λάβῃ πρωτεῖα ἑξῆς δὲ ἕκαστος κατὰ τὴν αὐτοῦ ἀξίαν.

45. 1 Cor. ii 6    46. Rom. i 14    XLIV 4. Gal. iii 28    1 Cor. x 17, cf. Eph. iv 4    5. 1 Cor. xii 27    11. Eph. iv 13

42. *πάντας ἢ τινὰς* MS : in lemmate autem *πάντως τινὰς*    45. Incertum utrum *πάντως* an *πάντας* scripserit m. p.    46. *οὗτος* MS : fors. *οὕτως*    50. *πάντα* : *τοῦτο* in lemmate MS    52. *δὲ om.* MS, suppl. s. l. corr.    XLIV 4. leg. fortasse *ἓν ⟨πνεῦμά⟩ εἰσι καὶ ἓν σῶμα* (cf. Eph. iv 4)    8. leg. fortasse *οἱ τὰ Ἑλλ. φιλοσοφοῦντες*: *οἱ τὰ Ἑλλ. φρονοῦντες* Vat. gr. 692

CLAUDE JENKINS.

# *DOCUMENTS*

## ORIGEN ON I CORINTHIANS.

## IV.

### § XLV.

x 5 [**Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός**, κατεστρώθησαν **γὰρ** ἐν τῇ ἐρήμῳ.]

[Ὠριγένους] 186

*Βούλεται παραστῆσαι ἡμῖν ὁ ἀπόστολος ὅτι οὐ τὸ τυχεῖν δωρεᾶς θεοῦ σώζει τὸν τετυχηκότα αὐτῆς, ἀλλὰ μετὰ τοῦ τυχεῖν τῆς δωρεᾶς ἐπιμεῖναι ἄξιον γενόμενον αὐτῆς. καὶ γὰρ οἱ υἱοὶ Ἰσραὴλ τοσαῦτα εὐεργετηθέντες, ἐπεὶ μὴ ἄξιοι γεγόνασιν τῆς εὐεργεσίας τοῦ θεοῦ, οὐκ ἐσώθησαν.* **οὐ γὰρ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός·** κατεστρώθησαν **γὰρ** ἐν τῇ ἐρήμῳ. *καὶ γὰρ ἐπεὶ πλείονες ἦσαν οἱ ἁμαρτωλοὶ ὀλιγώτεροι δὲ οἱ δίκαιοι, παρὰ τοῦτο ⟨οὐκ⟩* **εὐδόκησεν ὁ θεὸς ⟨ἐν⟩ τοῖς πλείοσιν** *ἁμαρτωλοῖς παρὰ τοὺς ὀλίγους δικαίους.*

### § XLVI.

x 6 [**Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.**]

[Ὠριγένους] 188

**Ταῦτα δέ** *φησιν* **τύποι ἡμῶν** *γεγόνασιν*, **εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς** 189 **κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.** *ἐκεῖνα γέγραπται τυπικῶς πρὸς ἡμᾶς, ἵνα ἀναγινώσκοντες τὰς ἁμαρτίας, δι' ἃς ἐκεῖνοι ταῦτα πεπόνθασιν, φυλαττώμεθα ταῖς αὐταῖς περιπεσεῖν ἐκείνοις ἐπιθυμίαις.*

### § XLVII.

xii 3 [**Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ.**]

[Ὠριγένους]

*Πολλαὶ διαφοραί εἰσι τῶν πνευμάτων ἅστινας οὐδεὶς εἴσεται ἀκριβῶς ἂν μὴ* 226

XLV 6. Num. xiv 16

XLV 7. *om.* οὐκ MS  8. παρὰ τοῖς πλειοσιν MS  XLVI 4. leg. fortasse

*ἔχῃ τὸ χάρισμα τῆς διακρίσεως τοῦ πνεύματος. καὶ ἵνα μὴ προπετέστερον ἢ ἀποδοκιμάζ⟨ω⟩μεν τὰ πνεύματα τὰ ἐν τοῖς λέγουσιν ἢ δοκιμάζ⟨ω⟩μεν, φησὶν ὁ Ἰωάννης ἐν τῇ ἐπιστολῇ* Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύ⟨ε⟩τε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν οὐκ ἔστιν ἐκ τοῦ θεοῦ. *καὶ διδάσκει ἡμᾶς ἐπὰν ἀκούσωμέν ποτε λεγόντων μηδὲ ὡς ἔτυχεν συγκατατίθεσθαι μήτε προπετῶς ἀρνεῖσθαι τὰ λεγόμενα ὡς* 227 *οὐκ ἀπὸ θείου ὄντα πνεύματος, ἀλλ᾽ ἵνα ἕκαστος τῶν ἀκουόντων εἰδὼς κινδυνεύειν ἐν αὐτῷ τῷ δοκιμάζειν ἢ ἀποδοκιμάζειν ἐπιμελῶς προσέχῃ μήτε τῷ ψεύδει πιστεῦσαι μήτε τῷ ἀληθεῖ ἀπιστῆσαι.*

Περὶ *τούτου καὶ ἑξῆς ἐπιφέρει τούτοις ὁ ἀπόστολος* Εἴ τις *ἐν ὑμῖν* προφήτης ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὅτι θεοῦ ἐστιν· εἰ δέ τις ἀγνοεῖ, ἀγνοεῖ⟨ται⟩. *οὐ μόνον οὖ⟨ν⟩ εἴ τις ἀγνοεῖ τὰ τοῦ ἀποστόλου οὗτος ἀγνοεῖται ὑπὸ τοῦ θεοῦ, ἀλλ᾽ εἴ τις ἀγνοεῖ λέγων πνεύματι θείῳ ⟨καὶ⟩ λέγοι ὅτι μὴ πνεύματι θείῳ λέγει, ἀγνοεῖται ὑπὸ τοῦ θεοῦ. ἔοικε δὲ διὰ τούτων διδάσκειν ὁ ἀπόστολος ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς οὐκ ἔχει ἕτερον πνεῦμα ἐν αὐτῷ παρὰ* τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. *εἴτε γὰρ ἀλλότριός ἐστι τῆς πίστεως εἴτε οἰκεῖός ἐστιν αὐτῆς, ἔχει πνεῦμα οἰκεῖον παρὰ τοῦ θεοῦ. πῶς δὲ χρῄζομεν οἱ ἀκούοντες τοῦ λόγου τοῦ θείου μανθάνειν* **ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν**, *ἴδωμεν· τινὲς δύνανται εἶναι ἀμφίβολοι τοῖς μὴ ἀκριβῶς εἰδόσι τὰ πράγματα πότερον* **πνεύματι θεοῦ** *λαλοῦσιν ἢ μή, ἀναθεματίζοντες τὸν Ἰησοῦν. εἴ ποτέ τινα Ἰουδαῖον θεάσῃ διηγούμενον τὰς θείας γραφὰς καὶ οὐκ εὐκαταφρονήτως τοῖς πολλοῖς προφητικὰ ῥήματα τάχα ἀμφέβαλεν μήποτε πνεῦμα θεοῦ ἐστι καὶ ἐν ἐκείνῳ· ἵνα οὖν μὴ περισπασθῇς ὑπὲρ τοῦ τοιούτου πότερον πνεῦμα ἅγιόν ἐστιν ἐν αὐτῷ ἢ μή, διδάσκει ὅτι ἐπεὶ* **ἀνάθεμα λέγει** *τὸν* **Ἰησοῦν** *πᾶς Ἰουδαῖος* **οὐδεὶς** *δὲ* **ἐν πνεύματι θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν**, *οὐκ ἔχει* **πνεῦμα θεοῦ** *ὁ λέγων τὸν νόμον καὶ τοὺς προφήτας εἰδέναι ἀναθεματίζων δὲ τὸν Ἰησοῦν. ἔστι τις αἵρεσις ἥτις οὐ προσίεται τὸν προσιόντα εἰ μὴ ἀναθεματίσῃ τὸν Ἰησοῦν. καὶ ἡ αἵρεσις ἐκείνη ἀξία ἐστὶ τοῦ ὀνόματος οὗ ἠγάπησεν· ἔστι γὰρ ἡ αἵρεσις τῶν καλουμένων Ὀφιανῶν, οἵτινες οὐ θεμιτὰ λέγουσιν εἰς ἐγκώμιον τοῦ ὄφεως, ὃς* ἐπικατάρατός *ἐστιν ἀπὸ τοῦ θεοῦ.*

XLVII 3. Cf. 1 Cor. xii 10  5. 1 Io. iv 1–3  13–14. 1 Cor. xiv 37  18. 1 Cor. ii 11  33. Gen. iii 14

XLVII 4. *ἀποδοκιμάζομεν . . . δοκιμάζομεν* MS  5. *πιστεύητε* MS  11. *προσέχει* MS : *-ῃ* corr. s. l.  14. *θεοῦ* 2/3 (uide infra ad xiv 31, xiv 37) *ἀγνοείτω* codd. : leg. *ἀγνοεῖται* (cf. Tischendorf ad 1 Cor. xiv 38, et infra LXXII 8)  15. *οὖν* scripsi : *οὐκ* MS  16. Aliquid excidisse uidetur, nisi uelis uocem *ἀγνοεῖ* omittere : *καὶ* suppleui ante *λέγοι* : leg. potius *ἀγνοῶν λέγων* A. Nairne fortasse recte  19. *ἐστι τῆς πίστεως αὐτῆς* m. p. : *τῆς πίστεως* punctis notauit corr. et leg. *ἐστιν*  22. *Ἰησοῦν· ἴδωμεν τίνες* MS  30. *om. τὸν ante προσιόντα* m. p., suppl. s. l. corr.  31. leg. fortasse *ἐὰν μή*

## § XLVIII.

xii 8–10. [Ὧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.]

xii 27–28. [Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.]

[Ὠριγένους]

245 Ἐκεῖ μᾶλλον τὸν λόγον ἐν τάξει τετήρηκεν, ἐνταῦθα δὲ ὡσεὶ ἀποκληρωτικῶς ἐπέρχεται καὶ κατὰ τὸ ἐπελθὸν αὐτῷ μνημονεύει τῶν χαρισμάτων· πλὴν καὶ οὕτως ἐκ τοῦ δευτέρου ῥητοῦ ἀναφωνεῖ ὅτι ἐλάττονα τὰ χαρίσματά ἐστι ⟨τὰ⟩ παρὰ τὰς δυνάμεις ἐνεργούμενα τοῦ χαρίσματος τοῦ κατὰ τὴν ἀποστολὴν καὶ τὴν προφητείαν καὶ τὴν διδασκαλίαν· εἰ μὴ ἄρα τις δύο εἴδη προφητείας δώσει, ἵνα καὶ ἐνθάδε τηρήσῃ τὸ τὴν τάξιν σώζεσθαι, ὥστε εἶναι τινὰ μὲν προφητείαν ὑπερβεβηκυῖαν τινὰ δὲ προφητείαν ἀναβεβηκυῖαν. τὴν μὲν γὰρ καθολικωτέραν καὶ μιμουμένην τὰς προφητείας Ἡσαΐου καὶ Ἱερεμίου δευτέραν τάξιν μετὰ τὴν ἀποστολὴν ἐρεῖ, ταύτην δὲ τὴν τελευταίαν τεταγμένην τάξιν μετὰ τὰ εἰρημένα χαρίσματα τοιαύτην οὖσαν· Ἐὰν δὲ προφητεύητε, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ καὶ ἀπαγγέλλει ὅτι ὄντως θεὸς ἐν ὑμῖν ἐστιν. τοῦτο γὰρ οὐ μακράν ἐστι τοῦ ἐνεργήματος τῶν δυνάμεων καὶ χαρίσματος ἰαμάτων ἐπὶ ἐκπλήξει γινομένων τῶν ὁρώντων, ἵνα ὁ προφητεύων εἴπῃ Τόδε ἔχεις ἐν τῇ καρδίᾳ σου· Ἀπὸ τοῦδε τοῦ ἁμαρτήματος ἐλήλυθας ἐπὶ τὴν ἐκκλησίαν. δύναται δὲ καὶ αὕτη ἡ προφητεία τάξει εἶναι ὑστέρα παρὰ τὰ πρότερα, κἀκείνη ἡ θειοτέρα καὶ μείζων δευτέρα εἶναι, περὶ ἧς λέγει Ὁ θεὸς ἔθετο ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους. εἰς κατασκευὴν τοῦ δύο

XLVIII 2. Cf. 1 Cor. xii 8 ff 11 ff. 1 Cor. xiv 24–5 (Is. xlv 14 Hebr.) 15. 1 Cor. xii 9

XLVIII This is the first section of the catena on 1 Cor. in the Athos MS Pantocrator 28 which contains a citation from Origen. Its readings are denoted in the *apparatus criticus* by Λ.

The passage clearly refers also to 1 Cor. xii 8–10, though attached in the MSS to xii 27–8. *ἐκεῖ* = 1 Cor. xii 28, *ἐνταῦθα* = xii 10

XLVIII 4. *om.* *τοῦ* Λ 4–5. Locus corruptus uidetur : *τὰ* suppleui post *ἐστι* : *ἐστι παρὰ τὰ τὰς* . . . Λ. Nairne : *ἐστι τὰ κατὰ τὰς* . . . Armitage Robinson 5. *τοῦ* 2° : *τὴν* Λ male 10. *τεταμένην* Λ 12. praem. *καὶ οὕτως ante τὰ κρυπτά* Λ 13. *καὶ οὗτος* 1° omissa suppl. s. l. Λ m. p. ut uid. 14 *ἀπαγγέλλει* Λ : *ἀπαγγελεῖ* MS 17. *ἀπὸ δὲ τοῦ* Λ male 18. *πρότερα* : *προειρημένα* Λ fortasse recte 19. *μείζω* Λ

σημαίνεσθαι ἀπὸ τοῦ τῆς προφητείας ὀνόματος τὰ προειρημένα προεθέμην ἃ προεῖπον. ὅρα εἰ δύναμαι ἔτι παραστῆσαι σαφέστερον τὸ λεγόμενον Ὁ θεὸς ἔθετο ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους· ἀλλ' οὐ πάντες ἀπόστολοι, ἐὰν γὰρ πάντες ἀπόστολοι, τίσι διακονοῦνται τὴν ἀποστολήν; δεύτερον προφήτας· οὐ πάντες προφῆται· κατὰ δὲ τὴν ἄλλην προφητείαν ἐὰν δὲ πάντες προφητεύητε, εἰσέλθῃ δὲ ἄπιστος ἢ ἰδιώτης, οὐχ ὡς ἀδυνάτου ἀλλ' ὡς δυνατοῦ ὄντος τοῦ πάντας οὕτως προφητεύειν. δύο οὖν σημαινόμενά ἐστιν ἀπὸ τοῦ τῆς προφητείας ὀνόματος. διὸ καὶ ἐνθάδε τετήρηται ἡ τάξις τῷ ἀποστόλῳ ἡ λέγουσα πρῶτον ἀποστόλους, δεύτερον προφήτας καὶ τὰ ἑξῆς.

246 Ταῦτα μὲν ὡς περὶ τῆς τάξεως, ἐπειδ⟨ὴ⟩ ἔδοξεν ἡμᾶς θλίβειν τὸ Ἄλλῳ δὲ προφητεία, τελευταία τεταγμένη ἐν ἄλλῃ λέξει.

## § XLIX.

xiii 1–2 [καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. ⟨κἂν⟩ ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν ⟨κἂν⟩ ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι.]

[Ὠριγένους]

249 Ζητοῦμεν ἐνταῦθα εἰ δύναταί τις ἐν τῷ βίῳ τούτῳ καὶ προφητείαν ἔχειν καὶ τὰ μυστήρια ἅπαντα γνῶναι χωρὶς ἀγάπης, καὶ ὅλως εἰ δίδοταί τινι τὰ μυστήρια πάντα γνῶναι· φησὶ γὰρ ὁ Παῦλος Εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι· καὶ πάλιν Ἐκ μέρους φησὶ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται. τὸ δὲ ταῦτα λέγειν περὶ ἑαυτοῦ καὶ τῶν παραπλησίων ἀποστόλων αὐτῷ δηλοῖ ὅτι οὐ δυνατόν ἐστιν εἰδέναι πάντα τὰ μυστήρια καὶ πᾶσαν τὴν γνῶσιν. πῶς οὖν ὡς δυνατοῦ ὄντος τοῦ εἰδέναι πᾶσαν τὴν γνῶσιν καὶ πάντα τὰ μυστήρια ἐπίστασθαι ταῦτα φησίν; ἐὰν ἴδωμεν τὸ προοίμιον τῶν λόγων, ἐν ⟨ᾧ⟩ φησὶ Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι, καὶ νοήσωμεν τί ἐστιν ὑπερβολή, ταῦτα πάντα ἔσται σεσαφηνισμένα. ὑπερβολὴ τοίνυν ἐστίν, ὡς καὶ Ἕλληνες ⟨ὡ⟩ρίσαντο, λόγος ἐμφάσεως ἕνεκεν ὑπεραίρων τὴν ἀλήθειαν· καὶ χρῶνται ἐκεῖνοι παραδείγματι, ὅτι λευκότεροι χιόνος λέγονταί τινες εἶναι· οὐχ ὅτι δυνατόν τι εἶναι λευκότερον χιόνος, ἀλλὰ καθ' ὑπερβολὴν λέλεκται. καὶ ἔτι Τρέχουσί τινες ἵπποι ὡς ἄνεμος· οὐχ ὅτι δυνατόν ἐστι τὸ τοιοῦτον, ἀλλ' ἐμφάσεως ἕνεκεν, ἵνα τὸ τάχος τῶν ἵππων παραστῇ, λέγεται τὸ τοιοῦτον περὶ αὐτῶν. Καὶ ἐν τῇ γραφῇ δὲ λέγεται τῶν Ψαλμῶν περὶ τῆς θαλάσσης Ἀναβαίνουσι τὰ κύματα αὐτῆς ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων· ὅπερ ἀδύνατον, ἀλλ'

25. 1 Cor. xiv 24   30. 1 Cor. xii 10   XLIX 4. 1 Cor. viii 2   5. 1 Cor. xiii 9   14. Cf. Ps. l (li) 9   18. Ps. cvi (cvii) 26

21. *τὰ εἰρημένα παρεθέμην* A   26. *om.* ἢ A   *ὄντως* A per incur.   30. *μὲν ὡς* MS : *δὲ* A   *ἐπεὶ δὲ* MS : *ἐπειδὴ* scripsi cum A   31. *τεταγμένην* A per incur.   *λέξει* MS : *τάξει* A an recte?   XLIX. 10. *ἐν οἷς* MS   12. *ὁρίσαντο* MS

ἐμφάσεως ἕνεκεν εἴρηται. καὶ ἐν τῷ νόμῳ δὲ εὑρήσεις γεγραμμένον τῆς ὑπερβολῆς τὸν τρόπον ἔνθα γέγραπται Εἴδομεν πόλεις μεγάλας καὶ τειχήρεις ἕως τοῦ οὐρανοῦ. πῶς δὲ τοῦτο δύναται εἶναι; ἀλλ' ὑπερβολικῶς λέγεται, οὐ πάντως αὐτὸ τὸ δηλούμενον παριστῶντος τοῦ λόγου ἀλλ' ἵνα δηλώσῃ τὸ μέγεθος τῶν κυμάτων ἢ τὴν ταπείνωσιν, καὶ τὸ μέγεθος τῶν τειχῶν, ἤ τι τούτοις παραπλήσιον. οὕτω καὶ ἐνθάδε ὑπόθεσιν λαμβάνει ὁ ἀπόστολος ὑπὲρ τοῦ ἐξετασθῆναι φύσιν χαρισμάτων, φύσιν ἀγάπης. οὐχ ὅτι δυνατόν 250 ἐστιν εἶναι χάρισμα, καὶ ταῦτα τηλικοῦτον, χωρὶς ἀγάπης· ἢ ὅτι δυνατὸν ἐν τῷ βίῳ τούτῳ εἰδέναι τινὰ πᾶσαν τὴν γνῶσιν χωρὶς ἀγάπης, ἢ ἔχειν πίστιν τηλικαύτην ὥστε ὄρη μεθιστάνειν· ἀλλὰ βουλόμενος παραστῆσαι ὅτι εἰ ἐν ζυγῷ τεθείη ἡ ἀγάπη, καθ' ὑπόθεσιν εἰρημένου τοῦ λόγου. δεῖ οὖν φησι μάλιστα ζηλοῦν τὴν ἀγάπην.

Ἆρα δὲ ἄγγελοι διαλεγόμενοι πρὸς ἀλλήλους ταύταις ταῖς γλώσσαις διαλέγονται αἷς καὶ ἄνθρωποι, ὥστε τῶν ἀγγέλων τινὰς μὲν Ἕλληνας εἶναι τυχὸν τινὰς δὲ Ἑβραίους καὶ ἄλλους Αἰγυπτίους; ἢ τοῦτο ἄτοπον λέγειν περὶ τῶν ἄνω ἀγγελικῶν ταγμάτων; μή ποτε οὖν ὥσπερ εἰσὶν ἐν ἀνθρώποις διάλεκτοι πολλαί, οὕτως εἰσὶ καὶ ἐν ἀγγέλοις; καὶ ἐὰν ὁ θεὸς ἡμῖν χαρίσηται ἀπὸ τῆς ἀνθρωπίνης φύσεως ἐπὶ τὴν ἀγγελικὴν καταταγῆν⟨αι⟩, τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ ἐπαγγελίαν λέγοντος Ἰσάγγελοι ἔσονται καὶ υἱοὶ θεοῦ τῆς ἀναστάσεως υἱοὶ ὄντες, οὐκέτι χρησόμεθα διαλέκτῳ ἀνθρώπων ἀλλὰ διαλέκτῳ τῇ ἀγγελικῇ; καὶ ὥσπερ ἄλλη διάλεκτος παιδίων καὶ ἄλλη τετρανωμένων τὴν φωνήν, οὕτως πᾶσα ἐν ἀνθρώποις διάλεκτος οἱονεὶ παιδίων ἐστὶ διάλεκτος· ἡ δὲ ἀγγελικὴ οἱονεὶ ἀνδρῶν ἐστι τελείων καὶ τετρανωμένων; ἴσως δὲ κἀκεῖ κατὰ τὴν ἀναλογίαν τῆς καταστάσεως καὶ διάλεκτοί εἰσιν. **ἐὰν οὖν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον.** ὥσπερ ὁ **χαλκὸς ἠχῶν** ἄσημον δίδωσι φωνήν, ὥσπερ τὸ κύμβαλον τὸ ἀλαλάζον οὐδὲν τρανόν, τὸν αὐτὸν τρόπον, χωρὶς μὲν ἀγάπης, γλῶσσα κἂν ἀγγέλων ἐν ἀνθρώποις καθ' ὑπόθεσιν ᾖ, ἀτράνωτός ἐστιν· οὐδὲν γὰρ ποιεῖ τῶν ἀνθρώπων ἤ τοι τῶν ἀγγέλων τρανῆ καὶ σαφῆ, ὡς ἡ ἀγάπη· ἀγάπης δὲ μὴ παρούσης τὸ λαλούμενον οὐδέν ἐστιν.

Τίς δὲ ἡ διαφορὰ τῆς **γνώσεως** καὶ τῆς τῶν **μυστηρίων** εἰδήσεως; περὶ δύο γὰρ πραγμάτων ὁ ἀπόστολος λέγει. ἡγοῦμαι τοίνυν τὸ μὲν περὶ τῶν φανερῶν εἰδέναι τὴν γνῶσιν εἶναι, γενικωτέραν οὖσαν τῶν μυστηρίων· ἐν μέρει γὰρ τῆς γνώσεως ἡ τῶν μυστηρίων ἐστὶν ἐπιστήμη· τὸ δὲ περὶ τῶν ἀπορρητοτέρων καὶ θειοτέρων εἰδέναι τοῦτ' εἶναι τὸ **μυστήριον** γινώσκειν, ὡς εἶναι γενικὸν μὲν λόγον τῆς γνώσεως οὐκέτι δὲ πάσης τῆς γνώσεως εἶναι τὴν κατάληψιν μυστηρίων περὶ ὧν λέλεκται Ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν 251 ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν. ὅταν γὰρ εἰδῶ ταῦτα, τότε ἔχω τὴν γνῶσιν τῶν μυστηρίων.

21. Cf. Deut. ix 1  31. Cf. 1 Cor. xii 31  38. Lc. xx 36  56. 1 Cor. ii 7

37. *καταταγήν* MS : *καταταγῆναι* scripsi  43. *αἱ διάλεκτοι* m. p. : *αἱ* eras. corr.

**Κἂν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν.** *γέγραπται ἐν τῷ εὐαγγελίῳ* Ἐὰν ἔχ⟨ητε⟩ πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μεταβήσεται, καὶ οὐδὲν ὑμῖν ἀδυνατήσει. *ὁ γὰρ ἔχων* πίστιν ὡς κόκκον σινάπεως *ὅλην ἔχει τὴν πίστιν.*

§ L.

xiii 3 [**⟨κἂν⟩ ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, ⟨κἂν⟩ παραδῶ τὸ σῶμά μου ἵνα καυ⟨χ⟩ήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.**]

[*Ὠριγένους*]

252 **Κἂν ψωμίσω πάντα μου τὰ ὑπάρχοντα** *οὐ διὰ τὴν ἀγάπην·* **κἂν παραδῶ τὸ σῶμά μου ἵνα καυ⟨χ⟩ήσωμαι,** *ὡς δυνατοῦ ὄντος* **ψωμίσαι** *τινὰ* **τὰ ὑπάρχοντα** *οὐ διὰ τὴν ἀγάπην ἀλλὰ διὰ κενοδοξίαν, καὶ ὡς δυνατοῦ ὄντος καὶ μαρτυρῆσαί τινα ἕνεκεν καυχήσεως καὶ δόξης ἧς δοξάζονται ἐν ταῖς ἐκκλησίαις οἱ μάρτυρες.*

§ LI.

xiii 4–5 [**Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς.**]

[*Ὠριγένους*]

*Τὰ ἐγκώμια τῆς ἀγάπης τῆς ὑπερεχούσης τὰ χαρίσματα διεξέρχεται. ἔδει γὰρ αὐτὸν διδάξαι καὶ τί ἐστιν* **ἀγάπη** *καὶ πῶς ἐστιν ὁ ἔχων τὴν ἀγάπην.* **Ἡ ἀγάπη μακροθυμεῖ·** *εἰ ἔχεις* μακροθυμίαν *τὴν οὖσαν* καρπὸν τοῦ πνεύματος *ἔχεις αὐτὴν διὰ τὴν ἀγάπην.* **χρηστεύεται·** *τί χρηστότητι ἐναντίον; ἡ πονηρία. εἰ πονηρεύῃ κατά τινος, οὐκ ἔχεις τὴν ἀγάπην. εἰ χρηστὸς εἶ καὶ γλυκὺς πρὸς πάντας τοὺς ἀνθρώπους, ἔχεις ἀγάπην.* **Ἡ ἀγάπη οὐ ζηλοῖ·** *εἰ ζῆλός ἐστιν ἐν σοὶ ὁποῖος ἦν ἐν τῷ Κάϊν πρὸς τὸν Ἄβελ ἢ ὁποῖος ἦν ἐν τοῖς ἀδελφοῖς τοῦ Ἰωσὴφ πρὸς τὸν Ἰωσήφ, οὐκ ἔχεις τὴν ἀγάπην. μαχόμενον πρᾶγμά ἐστι·*
253 *τὸ ἀγαπᾶν, τὸ ζηλοῦν.* **Ἡ ἀγάπη οὐ περπερεύεται·** *ὅταν τις προπετὴς ᾖ ἐπαγγελλόμενος εἰδέναι ἢ περὶ τέχνης ἢ περὶ ἐπιστήμης ἢ περὶ γνώσεως, οὗτός ἐστιν ὁ περπερευόμενος παρὰ τὸ μὴ ἔχειν τὴν ἀγάπην.* **Οὐκ ἀσχημονεῖ·** *οὐδεὶς τὴν ἀγάπην ἔχων ἄσχημόν τι πράττει· ἐὰν οὖν ποτε ἀδελφοὶ ἡμῶν* ἄρρ⟨η⟩ν καὶ θήλεια *φάσκοντες κατὰ θεὸν ἀλλήλους ἀγαπᾶν δι' ἀσθένειαν πέσωσι προφάσει ἀγάπης, λέγωμεν αὐτοῖς ὅτι οὐκ ἔχουσι τὴν ἀγάπην· ἡ γὰρ* **ἀγάπη οὐκ ἀσχημονεῖ. Οὐ ζητεῖ τὰ ἑαυτῆς·** *οὐδεὶς ἀγάπην ἔχων ζητεῖ τὰ ἑαυτοῦ· οἷον μήτηρ τὸ ἀγαπᾶν τὸν υἱὸν ἢ πατὴρ οὐ ζητεῖ τὰ ἴδια ὡς τὰ τοῦ υἱοῦ· τὸ γὰρ ἔχειν ἀγάπην οὐ φίλαυτον. εἰ ἐζήτει τὰ ἑαυτοῦ ὁ Σωτὴρ* ἐν μορφῇ θεοῦ

60 f. Matt. xvii 20, xxi 21 LI 4. Gal. v 22 14. Cf. Gen. i 27 18 ff. Phil. ii 6–8

59. *κἂν* MS sed in lemmate *καὶ ἐὰν* (bis) 60. *ἔχω* MS L 2. *κἂν . . . κἂν* MS sed *καὶ ἐὰν . . . καὶ ἐὰν* in lemmate 3. *καυθήσωμαι* MS hic et supra in lemmate: *καυ⟨χ⟩ήσωμαι* scripsi ex *διὰ κενοδοξίαν* (l. 4) et *ἕνεκεν καυχήσεως καὶ δόξης* (l. 5) LI 3. *om. καὶ* 1° m. p.: suppl. corr. 14. *ἄρρεν καὶ θήλεια* MS: *ἄρρην* scripsi, nisi uelis *θῆλυ* cum Gen. i 27

ὑπάρχων καὶ ὢν ἴσα θεῷ, ἔμενεν ἂν ἐν τῇ μορφῇ ἐκείνῃ· νῦν δὲ σῶσαι κόσμον ἀπολλύμενον θελήσας ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἐλθὲ καὶ ἐπὶ τοὺς ἁγίους· ἴδε τὴν ἀγάπην Μωϋσέως· Εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου ἧς ἔγραψας. καὶ ὁ ἀπόστολος δὲ φησὶ Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν, καὶ Εὐχόμην αὐτὸς ἀνάθεμα εἶναι ἀπὸ τοῦ χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατ' σάρκα. ἀνάθεμα τοῦ χριστοῦ εὔχεται εἶναι ὑπὲρ τῆς ἄλλων σωτηρίας.

## § LII.

xiii 8 [**Εἴτε γλῶσσαι, παύσονται.**]

[Ὠριγένους]

**Γλῶσσαι παύσονται, ὅτε νῷ ὁμιλήσω ᾧ βούλομαι διαλεχθῆναι.** 255

## § LIII.

xiii 9–12 [**Ἐκ μέρους δὲ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον.**]

[Ὠριγένους]

Ὁ δοκῶν προκόπτειν ἐνθάδε ὡς ἐν παιδίοις προκόπτει· ἐὰν δὲ **ἔλθῃ τὸ τέλειον** 257 καὶ καταντήσωμεν εἰς ἄνδρα τέλειον, τότε τὰ τῶν ἀνδρῶν χωρήσομεν καὶ γνῶσιν καὶ προφητείαν καὶ ὄψιν θεοῦ ἣν ὄψονται οἱ μακάριοι οἱ διὰ τὴν καθαρότητα τῆς καρδίας.

## § LIV*.

xiv 5 [**Μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύει, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.**]

22. Ex. xxxii 32 24 f. 1 Cor. x 33 25 ff. Rom. ix 3 LIII 2. Cf. 1 Cor. xiv 20 3. Eph. iv 13 4. Matt. v 8

LII The remainder of the passage assigned in Cramer to Origen (p. 255, l. 27–p. 256, l. 12) belongs to John (sc. Chrysostom).

LIV*–LXXII*. These nineteen sections marked with an asterisk are supplied from the Athos MS Pantocrator 28, and have not, so far as we are aware, been published hitherto. The readings of the MS are denoted by A. It has seemed best to print them consecutively in the order in which they stand in the MS since they are followed there by the Origen citation printed below as § LXXIV [*ὡς γὰρ πάντων . . . τοὺς Κορινθίους κατήντησεν ;*]. Unless the Catenist has altered the order of the passages for which there is no obvious motive as the citations are written round the margin of the text of 1 Cor., not under lemmata, the overlapping suggests that the extracts are from homilies rather than from a commentary.

27. *ἀνάθεμα τοῦ χριστοῦ* MS : supplendum fortasse ἀπὸ, sed haesito

[Ὠριγένους]

Ὁ τὸ οἰκοδομοῦν ἔχων χάρισμα μείζων ἐστὶν τοῦ μὴ τὸ τοιοῦτον ἔχοντος, ἅτε κοιν⟨ω⟩φ⟨ε⟩λέστερος ὢν ὁ τὸ οἰκοδομοῦν ἔχων χάρισμα· ἐὰν δὲ γλώσσαις λαλῶν ἔχῃ καὶ τὸ διερμηνεύειν ἐπὶ τῷ τὴν ἐκκλησίαν οἰκοδομεῖν οὐκέτι μείζων ὁ προφητεύων. ἔστι γὰρ ὅτε ὑψηλὰ λαλεῖ, ἑαυτῷ λαλεῖ καὶ τῷ θεῷ ὡς μὴ δύνασθαι ἀκούειν τὴν ἐκκλησίαν.

§ LV*.

xiv 6 [Νυνὶ δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει ἢ ἐν προφητείᾳ ἢ ἐν γνώσει ἢ ἐν διδαχῇ;]

[Ὠριγένους]

Προφητεία ἐστὶν ἡ διὰ λόγου τῶν ἀφανῶν σημαντικὴ γνῶσις, ἡ εἴδησις τῆς τοῦ κόσμου συστάσεως καὶ ἐνεργείας στοιχείων καὶ χρόνων. διδαχὴ ἐστὶν ὁ εἰς τοὺς πολλοὺς διανεμόμενος διδασκαλικὸς λόγος. ἀποκάλυψίς ἐστιν ὅταν ὁ νοῦς ἔξω γίν⟨η⟩ται τῶν γηΐνων καὶ ἀποθ⟨ῆ⟩ται πᾶσαν πρᾶξιν σαρκικὴν δυνάμει θεοῦ· ὁ τούτου τυχὼν γέγονεν ἐν ἀποκαλύψει. τάχα δὲ καὶ ἡ περὶ τῶν μελλόντων γνῶσις δύναται ἀποκάλυψις λέγεσθαι, ἔξεστιν δὲ καταχρηστικώτερον τοῖς ὀνόμασιν χρῆσθαι τὸν νοήσαντα τὴν ἑκάστου κυριολεξίαν.

§ LVI*.

xiv 7–9 a [Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ διδῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον;]

[Ὠριγένους]

Δυσωπῆσαι βούλεται τοὺς γλώσσῃ λαλοῦντας σιγᾶν ἐν ἐκκλησίᾳ, ἐὰν μὴ ᾖ διερμηνευτής, καὶ φησὶ Τὰ ἄψυχα, αὐλὸς καὶ κιθάρα, τοῖς μουσικοῖς καὶ φθόγγοις διαστολὴν μὴ διδόντα οὐ γιγνώσκεται ποίῳ ῥυθμῷ ηὔλησε· καὶ ὁ στρατιώτης οὐχ ὁπλίζεται εἰς πόλεμον, ἐὰν μὴ τὴν διεγερτικὴν εἰς πόλεμον προῆται φωνὴν ἡ σάλπιγξ· καὶ οἱ λαλοῦντες γλώσσῃ καὶ μὴ διερμηνεύοντες οὐκ ὀφείλουσι λαλεῖν, ὡς μὴ διδόντες διαστολὴν τοῖς λόγοις εἰς τὸ νοηθῆναι· τὰ μὲν οὖν τῆς θεωρίας δόγματα αὐλὸν καὶ κιθάραν εἶπεν ὡς μηδὲν ἐμφαίνοντα ἠθικόν, τοὺς δὲ ἐπ' ἀρετὴν προτρεπομένους σάλπιγγ⟨α⟩· διὰ τοῦδε ⟨ἔστιν⟩ εἰπεῖν ὅτι τὰ ἀσαφῆ τῆς γραφῆς, οἷον τὰ περὶ θυσιῶν ἐν Λευιτικῷ καὶ τῆς σκηνῆς ἐν Ἐξόδῳ, οὐ δεῖ ἀναγιγνώσκειν, εἰ μή τις αὐτῶν σαφηνίζει τὸν νοῦν τῇ διηγήσει.

LIV 5. 1 Cor. xiv 2   LV 6. Cf. 2 Cor. xii 2–4, Apoc. i 10   6–7. Cf. Apoc. i 19   LVI 2. 1 Cor. xiv 28

LIV 3. *κοινοφιλέστερος* hic et alibi A   LV 5. *γίνηται . . . ἀποθῆται* scripsi: *γίνεται . . . ἀποθεῖται* A   LVI 3. *δι' ἑρμηνευτης* A   9. *σάλπιγγα* scripsi: *σάλπιγγι* A   *διὰ τοῦ δὲ εἰπεῖν* A. Deest aliquid ut uidetur: *ἔστιν* suppleui

§ LVII*.

xiv 9 b [**Ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.**]

[Ὠριγένους]

Ὁ λαλῶν γλώσσῃ ἐν τῷ θεῷ λαλεῖ· εἰ καὶ μὴ νοοῦσιν οἱ ἄνθρωποι, ἀλλ' οὖν αἱ περὶ τὸν ἀέρα δυνάμεις ἀκούουσιν.

§ LVIII*.

xiv 10 [**Τοσαῦτα εἰ τύχοι γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον.**]

[Ὠριγένους]

Καὶ τὰ ἄψυχα οὖν φωνὴν δίδωσιν, τινὰ μὲν αὐτῶν μετὰ ⟨ταύ⟩της τῶν φθόγγων διαστολῆς, τινὰ δὲ αὖ ταύτης· πᾶν γὰρ σῶμα ἰδιότητα ἔχει φωνῆς, συγκροῦον ἑτέρῳ σώματι.

§ LIX*.

xiv 11 [**Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος.**]

[Ὠριγένους]

Πᾶς ὁ λαλῶν τινι ἃ μὴ νοεῖ, ὁ ἀκούων δοκεῖ αὐτῷ βάρβαρος εἶναι, κἀκεῖνος τούτῳ.

§ LX*.

xiv 12 [**Οὕτως καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε.**]

[Ὠριγένους]

Τὸ περισσεύειν γίνεται τῇ τῶν χαρισμάτων ὑπεροχῇ ἐκ τοῦ τὰ πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖν, ὡς ὅτι οὐ περισσεύει ἐν τοῖς χαρίσμασιν ὁ μὴ ζητῶν τὸ κοιν⟨ω⟩φ⟨ε⟩λές. εἰκὸς γὰρ ὅτι ἀργεῖ ἡ ἐνέργεια τοῦ χαρίσματος ὅταν μὴ λάμπῃ ἔμπροσθεν τῶν ἀνθρώπων. διό, εἰ θέλομεν αὔξειν τὰ χαρίσματα, τῇ ὠφελείᾳ τῶν πλειόνων ἑαυτοὺς ἐπιδώσομεν.

§ LXI*.

xiv 13–14 [**Διόπερ ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ· ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν.**]

[Ὠριγένους]

Ἐὰν μὴ ἔχῃ τὸ χάρισμα τοῦ διερμηνεύειν ὁ γλώσσῃ λαλῶν, κἂν μὴ οἱ ἄλλοι νο⟨ῶ⟩σιν ἀλλ' αὐτὸς νοεῖ τὰ ἀπὸ τοῦ πνεύματος αὐτῷ ἐμβαλλόμενα εἰς τὸ

LVII 2. Cf. 1 Cor. xiv 2, 28 3. Cf. Eph. ii 2 LVIII 2. 1 Cor. xiv 7
LX 5. Matt. v 16

LVIII 2. *μετὰ ταύτης* scripsi : *μετὰ τῆς* A 3. *ταύτης* A : suppl. fortasse *μετὰ*
LX 4. *κοινοφιλές* hic et alibi A LXI 3. *νοῶσιν* scripsi : *νοοῦσι* A

κινεῖσθαι λαλεῖν. ὅταν δὲ τὸ λαλούμενον νοηθείη παρ' ἄλλοις, τότε καρπὸς δοκεῖ οὗτος εἶναι τοῦ λαλοῦντος πρὸς τοὺς νοοῦντας.

§ LXII*.

xiv 15–17 [Τί οὖν ἐστιν; προσεύξωμαι τῷ πνεύματι, προσεύξωμαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ Ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδεν· σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.]

[Ὠριγένους]

Καὶ διὰ τούτων τὸ κοινωφελὲς τῆς ἐκκλησίας διδασκόμεθα ζητεῖν.

§ LXIII*.

xiv 18–9 [Εὐχαριστῶ τῷ θεῷ μου, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.]

[Ὠριγένους]

Καὶ τὸ πνευματικῶς λαλεῖν τοὺς αἰσθητοὺς λόγους τὰς πέντε αἰσθήσεις τὸ κοινωφελές ἐστιν ζητεῖν· ὁ δὲ τῆς κατηχήσεως λόγος ὁ διὰ τῶν πέντε αἰσθήσεων ἐπὶ τῶν ἀκουόντων ἐν ἐκκλησίᾳ τέτακται, ὡς καὶ αὐτῶν ὑπὸ τῶν πέντε λόγων κατηχουμένων. οἱ γὰρ μὴ εἰδότες τὴν τῶν λεγομένων τρανότητα, ἀλλὰ μόνῃ τῇ ψιλῇ τῶν γραφῶν περιηχήσει προσέχοντες, κατηχούμενοι χρηματίζουσιν· οἱ δὲ τῆς τῶν φθόγγων διαστολῆς ἀκούοντες ἀπὸ τῆς γραφῆς οὗτοι οὐ κατηχούμενοι ἀλλὰ πιστοί.

§ LXIV*.

xiv 20 [Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε.]

[Ὠριγένους]

Ἐπειδὴ ἃ προστάσσει δυνατά ἐστιν, δυνατὸν ἡμᾶς τελείους γενέσθαι ταῖς φρεσίν. τοῦτο δὲ σχεδὸν ἑρμηνεύει τὸ Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία· στραφεὶς γὰρ γίνεται ὡς παιδίον ὁ τῇ κακίᾳ νηπιάζων.

§ LXV*.

xiv 21 [Ἐν τῷ νόμῳ γέγραπται ὅτι Ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος.]

[Ὠριγένους]

Καὶ τὸν προφητικὸν λόγον νόμον ἐκάλεσεν· ταῦτα δὲ τὰ ῥήματα εὕρομεν παρὰ Ἀκύλᾳ καὶ ταῖς λοιπαῖς ἐκδόσεσιν, οὐ μὴν παρὰ τοῖς ἑβδομήκοντα.

LXIII 7. 1 Cor. xiv 7  LXIV 3. Matt. xviii 3  LXV 2–3. Cf. Is. xxviii 11

LXV. Cf. Origen Philocalia εὗρον γὰρ τὰ ἰσοδυναμοῦντα τῇ λέξει ταύτῃ ἐν τῇ τοῦ Ἀκύλου ἑρμηνείᾳ κείμενα and Field *Hexapla* ii 479 (ad Is. xxviii 11)

LXIII 2. τὰς πέντε αἰσθήσεις: glossa uidetur, A. Nairne  8. ἀλλ' ἄπιστοι ut uid. A per incur.

## § LXVI*.

xiv 24–5 [**Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτως τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον** προσκυνήσει **τῷ θεῷ, ἀπαγγέλλων** ὅτι ὁ θεὸς ὄντως ἐν ἡμῖν ἐστιν.]

[Ὠριγένους]

*Ἐπειδὴ τὸ προφητικὸν χάρισμα ποιεῖ* γινώσκειν **τὰ κρυπτὰ τῆς καρδίας** *του* **ἀπίστου** *καὶ* **ἰδιώτου** *καὶ πλησιάζοντος αὐτοῖς, δῆλον ὅτι* ὅταν ἔλθῃ τὸ τέλειον, *τελείως γιγνώσκουσιν παντὸς ἰδιώτου καὶ ἀπίστου τὰ κρυπτά, εἰκὸς δὲ ὅτι τότε καὶ τοῦ ἁγίου ἀνθρώπου* **τὰ κρυπτὰ φανερὰ γίνεται** *τοῖς προφήταις, τάχα τοῖς μείζοσιν τὰ τῶν καταδεεστέρων.* ⟨*καὶ*⟩ *ὁ ὠφελούμενος* εὐλαβεῖται ἐμβλέψαι *εἰς τὸ πρόσωπον* τοῦ θεοῦ· *διὸ φανταζόμενος τὸν θεὸν* **πίπτει ἐπὶ πρόσωπον**, *καὶ τὴν ὑπεροχὴν καὶ τὴν δόξαν αὐτῷ διδούς,* **καὶ οὕτως** προσκυνεῖ **τῷ θεῷ**. *τὸ δὲ* **ἐλέγξαι** *καὶ* **ἀνακρῖναι** *τὰ κρυπτὰ τῆς καρδίας, ὅ ἐστι* **φανερὰ** *ποιῆσαι, χαρακτηρίζει ὅτι ὁ θεὸς ἐν τῷ πνεύματί ἐστι τῶν τοιούτων. εἰ δὲ καὶ τὰ λοιπὰ χαρίσματα σημεῖά ἐστι τοῦ* ὄντως εἶναι θεόν, *ἐν τίνι ζητητέον;*

## § LXVII*.

xiv 26–27 [**Τί οὖν ἐστιν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω. εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω.**]

[Ὠριγένους]

*Ὅταν* **συνέλθωμεν**, *πᾶσι τοῖς ἔχουσι χαρίσματα ἐπιτρεπτέον* **λαλεῖν** *τοῖς δυναμένοις διδάσκειν.*

## § LXVIII*.

xiv 29 [**Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν.**]

[Ὠριγένους]

**Ἄλλους** *λέγει τοὺς ἔχοντας χάρισμα διασαφεῖν τοὺς πνευματικοὺς τῶν προφητῶν λόγους, εἴ γε αὐτοὶ οἱ προφητεύοντες οὐκ ἔσχον τῆς* **διακρίσεως** *τὸ χάρισμα· ἐν ᾧ γὰρ οὐκ ἔχουσι τοῦτο εἰκὸς αὐτοὺς ὑπό τινος πονηροῦ πνεύματος ἠπατῆσθαι τοῦ* μετασχηματιζομένου εἰς ἄγγελον φωτός, *ὡς προφητικοῦ τυχόντας ἀξιώματος.*

## § LXIX*.

xiv 30–31 [**Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. δύνασθε γὰρ καθ᾽ ἕνα πάντες προφητεύειν.**]

LXVI 2. 1 Cor. xiii 9   3. 1 Cor. xiii 10   6. Cf. Ex. iii 6   8, 11. Is. xlv 14 Hebr.   LXVIII 3. Cf. 1 Cor. xii 10   5. 2 Cor. xi 14

LXVI 6. *καὶ* suppleui: *προφήταις. τάχα τοῖς μείζοσιν τὰ τῶν καταδεεστέρων ὁ* A

[Ὠριγένους]

Οὐκοῦν οὐκ ἐξίσταντο οἱ προφῆται· ἐν αὐτοῖς γὰρ ἦν τὸ σιωπῆσαι καὶ ἐπισχεῖν τὸ ἐπ' αὐτοῖς πνεῦμα.

§ LXX*.

xiv 32 [**Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται.**]

[Ὠριγένους]

Διὰ τοῦτο τὸ τῆς ὑποταγῆς εὐγνωμόνως ἐν σιώπῃ δηλοῖ· ὅτι τὰ **πνεύματα** δὲ τοῖς **προφήταις ὑποτάσσεται**, ἀλλ' αἱ ψυχαὶ τῶν προφητῶν προφητεύουσιν.

§ LXXI*.

xiv 34–35 [**Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν, οὐ γὰρ ἐπιτέτραπται λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.**]

[Ὠριγένους]

Ἐπειδὴ οἱ ἄνδρες κατὰ τὰς ἀρχὰς ἐξουσίαν εἶχον λαλεῖν καὶ τοὺς ἀκούοντας ὠφελεῖν, αἱ δὲ γυναῖκες περὶ ὧν ἐπηπόρουν ἠρώτ⟨ω⟩ν. **νόμον** δὲ **λέγει** τὸ ἐν τῇ Γενέσει εἰρημένον Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου.

§ LXXII*.

xiv 37–38 [**Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν ὅτι τοῦ κυρίου εἰσὶν ἐντολαί· εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.**]

[Ὠριγένους]

**Πνευματικός** ἐστιν ὁ πάντα λόγον καὶ πάντα νοῦν δυνάμενος βασανίζειν, καὶ διὰ πολλὴν βαθύτητα νοῦ δυσδιάγνωστον ὄντα ὥστε μὴ δύνασθαι ἀνακρίνεσθαι. οὐ τοῦ τυχόντος δέ ἐστιν εἰδέναι ὅτι τὰ γραφόμενα ὑπὸ Παύλου τοῦ **κυρίου** ἐστίν, ἀλλὰ **προφήτου** ⟨**ἢ**⟩ **πνευματικοῦ**· οὐκοῦν ὁ μὴ εἰδὼς ὅτι τοῦ **κυρίου** ἐ⟨στ⟩ίν, οὔτε **προφήτης** ἐστὶν οὔτε **πνευματικός**. ἄλλο δέ ἐστιν πιστεύειν καὶ ἄλλο γινώσκειν· οὐκοῦν ὁ **ἀγνοῶν** ὅτι τοῦ κυρίου ἐ⟨στ⟩ίν, **ἀγνοεῖ** μήπω φθάσας εἰς τὸ κυρίως εἶναι τοῦ θεοῦ· ὁ γὰρ γινωσκόμενος ἀνακιρνᾶται τρόπον τινὰ τῷ γιγνώσκοντι αὐτόν.

§ LXXIII.

xiv 31 [**Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσιν καὶ πάντες παρακαλῶνται.**]

LXXI 4. Gen. iii 16 LXXII 3–4. Cf. 1 Cor. ii 14–15

LXX 2 Incertum utrum *ὅτι* an *οὐ* scripserit A LXXI 3. *ἠρώτουν* A per incur. LXXII 5. *ἢ* suppleui: *προφήτου πνευματικοῦ* A 6, 7. *ἐστίν* (bis) scripsi: *εἰσίν* (bis) A 8–9. *ὁ γὰρ γινωσκόμενος . . . τῷ γινώσκοντι αὐτόν*. Ex hac clausula auctorem nostrum in codicibus eius *ἀγνοεῖται* inuenisse optime colligit A. Nairne. Uide quae adnotaui ad XLVII 14

[Ὠριγένους]

Κίνδυνός ἐστι τοῖς ἀναγινώσκουσιν ἁπλῶς ἀποφαίνεσθαι, ὁμοίως δὲ καὶ 277
τοῖς ἀκούουσιν. ἄκουε γοῦν Παύλου λέγοντος Εἴ τις δοκεῖ ἐν ὑμῖν προφήτης
εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὅτι θεοῦ ἐστιν· ὡς οὐ παντὸς ἐπιγινώ-
σκοντος τὰ τοῦ θεοῦ ἐὰν μὴ ᾖ προφήτης ἢ πνευματικός. διέγραψεν δὲ τὸν
πνευματικὸν ὁ ἀπόστολος εἰπὼν Ὁ δὲ πνευματικὸς ἀνακρίνει τὰ πάντα, αὐτὸς δὲ ὑπ'
οὐδενὸς ἀνακρίνεται. τίς δέ ἐστιν ὁ διακρίνων τὰ πάντα ἢ ὁ δυνάμενος πάντα
λόγον ἐξετάζειν καὶ κρίνειν; οὗτος δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται, διὰ τὸ βάθος τῶν 278
νοημάτων αὐτοῦ μὴ καταλαμβανόμενος. ὁ γὰρ πνευματικὸς νοῦν ἔχει κυρίου.
ὥσπερ οὖν παιδίον οὐ δύναται ἀνακρῖναι νοῦν ἀνδρὸς καὶ ἐξετάσαι τὰ νοήματα
αὐτοῦ· οὐδὲ γὰρ τὴν ἀρχὴν παρακολουθεῖ τοῖς τοῦ ἀνδρὸς νοήμασιν ὁ βραχὺς
παῖς· τὸν αὐτὸν τρόπον οὐδὲ ψυχικὸς δύναται εἰδέναι ποῖα τὰ τοῦ θεοῦ καὶ ποῖα
οὐχί, μόνου δὲ πνευματικοῦ ἐστι τοῦτο τὸ ἔργον. Ἐγὼ πολλάκις ἐζήτουν
κατ' ἐμαυτὸν τί δήποτε ὅτε οἱ προφῆται ἦσαν τοῦ θεοῦ καὶ οἱ ψευδοπροφῆται,
οἱ ψευδοπροφῆται εὐδοκίμουν παρὰ τοῖς βασιλεῦσιν αὐτῶν παρὰ τοὺς προφήτας·
καὶ τὰ μὲν βιβλία τῶν ψευδοπροφητῶν οὐκ ἐγράφη οὐδὲ ἐσώθη ἐν τῷ λαῷ, τὰ
δὲ τῶν προφητῶν καταδικασθέντων, μισηθέντων, πεπονθότων ἃ ἴσμεν, ἦλθεν
εἰς μέσον καὶ τετίμηται. τίς γέγονεν ἡ τούτων ἀρχή, ἀπὸ τοῦ ἀποστόλου
ἀφορμὰς λαβὼν λέγω· ὅτι ἦν χάρισμα ἐν τῷ λαῷ ὥσπερ προφητεύειν, οὕτω
διακρίνειν προφήτας. **δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν**· ἀφθονία ἦν
τότε τῶν λεγόντων καὶ τῶν ἐπιτρεπομένων λέγειν. διὰ γὰρ τοῦτο ἐπέτρεψεν
ὁ ἀπόστολος πᾶσι λέγειν ἐν ἐκκλησίᾳ· μικροῦ δεῖν καὶ ταῖς γυναιξὶν ἐπέτρεψε
λαλεῖν, εἰ μὴ εἰρήκει τὸ ἑξῆς.

§ LXXIV.

xiv 34–35 [**Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν, οὐ γὰρ ἐπι-
τέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ
δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν, αἰσχρὸν
γάρ ἐστι γυναιξὶ ἐν ἐκκλησίᾳ λαλεῖν.**]

[Ὠριγένους]

Ὡς γὰρ πάντων λεγόντων καὶ δυναμένων λέγειν, ἐὰν ἀποκάλυψις αὐτοῖς 279
γένηται, φησὶν **Αἱ γυναῖκες ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν**. ταύτης δὲ τῆς
ἐντολῆς οὐκ ἦσαν οἱ τῶν γυναικῶν μαθηταί, οἱ μαθητευθέντες Πρισκίλλῃ καὶ
Μαξιμίλλῃ, οὐ Χριστοῦ τοῦ ἀνδρὸς τῆς νύμφης. ἀλλ' ὅμως εὐγνωμονῶμεν
καὶ πρὸς τὰ πιθανὰ ἐκείνων ἀπαντῶντες. τέσσαρές φασι θυγατέρες ἦσαν
Φιλίππου τοῦ εὐαγγελιστοῦ καὶ προεφήτευον. εἰ δὲ προεφήτευον, τί ἄτοπόν
ἐστι καὶ τὰς ἡμετέρας, ὡς φασὶν ἐκεῖνοι, προφήτιδας προφητεύειν; ταῦτα δὲ

LXXIII 3–4. 1 Cor. xiv 37 6–7. 1 Cor. ii 15 9. Cf. Is. xl 13, 1 Cor. ii 16
12. 1 Cor. ii 14 LXXIV 2–3. Cf. 1 Cor. xiv 30

LXXIII 16. βυβλία MS per incur. LXXIV 2. *om.* λεγόντων per incur. A
4. ἐντολῆς : leg. fortasse ἐντολῆς ἀκροαταί 5. leg. fortasse Χριστῷ τῷ ἀνδρί
6. πειθανά A φησι A male

λύσομεν. πρῶτον μὲν λέγοντες ὅτι Αἱ ἡμέτεραι προεφήτευον, δείξατε τὰ σημεῖα τῆς προφητείας ἐν αὐταῖς· δεύτερον δὲ Εἰ καὶ προεφήτευον αἱ θυγατέρες Φιλίππου, ἀλλ' οὐκ ἐν ταῖς ἐκκλησίαις ἔλεγον· οὐ γὰρ ἔχομεν τοῦτο ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων. ἀλλ' οὐδ' ἐν τῇ παλαιᾷ· Δεββῶρα μεμαρτύρηται προφῆτις εἶναι, λαβοῦσα δὲ Μαριὰμ ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον ἐξῆρχε τῶν γυναικῶν. ἀλλ' οὐκ ἂν εὕροις ὅτι Δεββῶρα ἐδημηγόρησεν εἰς τὸν λαὸν ὥσπερ Ἱερεμίας καὶ Ἡσαΐας· οὐκ ἂν εὕροις ὅτι Ὀλδὰ προφῆτις οὖσα ἐλάλησε τῷ λαῷ ἀλλ' ἑνί τινι ἐλθόντι πρὸς αὐτήν. ἀλλὰ καὶ ἐν τῷ εὐαγγελίῳ ἀναγέγραπται Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· ἀλλ' οὐκ ἐν ἐκκλησίᾳ ἐλάλησεν. ἵνα οὖν καὶ δοθῇ ἐκ σημείου προφητικοῦ εἶναι προφῆτις γυνή, ἀλλ' **οὐκ ἐπιτρέπεται** ταύτῃ **λαλεῖν** ἐν ἐκκλησίᾳ. ὅτε ἐλάλησε Μαριὰμ ἡ προφῆτις ἄρχουσα ἦν τινων γυναικῶν· **αἰσχρὸν γὰρ γυναικὶ λαλεῖν ἐν ἐκκλησίᾳ**, καὶ διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω ἁπλῶς ἀλλ' οὐδὲ αὐθεντεῖν ἀνδρός.

Καὶ ἄλλοθεν δὲ τοῦτο παραστήσω, εἰ καὶ ἐκεῖνο ἀσφαλέστερον εἴρηται περὶ τοῦ μὴ τὴν γυναῖκα ἡγεμόνα γίνεσθαι τῷ λόγῳ τοῦ ἀνδρός· πρεσβύτιδας ἐν καταστήματι ἱεροπρεπεῖς, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας, οὐχ ἁπλῶς ἵνα διδάσκωσιν. καλοδιδάσκαλοι μὲν γὰρ ἔστωσαν καὶ γυναῖκες, οὐχ ἵνα ἄνδρες καθήμενοι ἀκούωσι γυναικῶν, ὡς ἐκλειπόντων ἀνδρῶν τῶν δυναμένων πρεσβεύειν τὸν τοῦ θεοῦ λόγον.

**Εἰ δέ τι μαθεῖν ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.** δοκεῖ μοι τὸ **τοὺς ἰδίους ἄνδρας** οὐκ ἐπὶ τοὺς γαμετοὺς ἀναφέρεσθαι μόνον· αἱ παρθένοι γὰρ ἢ λαλήσουσιν ἐν ἐκκλησίᾳ ἢ οὐχ ἕξουσι τοὺς διδάσκοντας, καὶ αἱ χηρεύουσαι ὁμοίως· ἀλλὰ μήποτε **τοὺς ἰδίους ἄνδρας** οἷον καὶ τὸν ἀδελφὸν καὶ τὸν οἰκεῖον καὶ τὸν υἱόν; ἅπαξ ἁπλῶς ἀνδρὸς πυνθανέσθω γυνὴ τοῦ ἰδίου κατὰ τὸ γενικὸν ὄνομα ἀνδρὸς πρὸς ἀντιδιαστολὴν γυναικός· **αἰσχρὸν γὰρ γυναικὶ λαλεῖν ἐν ἐκκλησίᾳ**, ὁποῖα ἐὰν λαλῇ, κἂν θαυμαστὰ λαλῇ, κἂν ἅγια, μόνον δὲ ἀπὸ στόματος γυναικείου ἐξέρχηται. **Γυνὴ ἐν ἐκκλησίᾳ** δηλονότι κατὰ τὸ αἰσχρὸν λέγεται ἐπὶ κατηγορίᾳ τῆς ὅλης ἐκκλησίας.

xiv 36 [**Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;**]

Ὡς τῆς ἀταξίας ταύτης οὔσης ἐν Κορίνθῳ μετὰ καὶ τῶν ἄλλων ἁμαρτημάτων. τοῦτο οὖν λέγει ὅτι ἀπέστειλεν τὸν λόγον αὐτοῦ ὁ θεὸς εἰς τὸν κόσμον. ἆρ' οὖν ἡ ἀλήθεια καὶ ὁ κανὼν ὁ ἐκκλησιαστικὸς **εἰς ὑμᾶς μόνους** τοὺς Κορινθίους **κατήντησεν**;

10 f. Cf. Act. Ap. xxi 9 13. Ex. xv 20, 21 17. Lc. ii 36 21. 1 Tim. ii 12 23 ff. Tit. ii 3

9. *λύσωμεν* A 10 *καὶ εἰ* A 11. *om.* *ἔλεγον* A 12, 14. *Δεβόρρα* A 13. *Ἀαρών* MS : *Μωσέως* A fortasse recte 15. *ἠρεμίας* A 24. *διδασκάλους* A 25. *γυναῖκες* MS : pr. *αἱ* A 28. *θέλουσιν* A 29. leg. fortasse *γυναικί* ut supra *om.* *οὐκ* per incur. A 30 *λαλήσουσιν* MS : *λαλοῦσιν* per incur. A (habet *ἕξουσιν*) 32–3. *υἱὸν ἅπαξ ἁπλῶς· ἀνδρός* A male 34. *γυναικί* MS : *γυναιξί* A 38–9. *κατήντηκεν* A, sed infra (l. 43) *κατήντησεν* 41. *om.* *ὅτι* A

## § LXXV.

xiv 37–38 [**Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν ὅτι κυρίου εἰσὶν ἐντολαί· εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.**]

[Ὠριγένους]

Ἵν' οὖν ἐπιγινώσκωμεν τὰ τοῦ θεοῦ, παρακαλέσωμεν τὸν διδόντα χαρίσματα, 280
ἵνα δώῃ ἡμῖν χάρισμα προφητικὸν καὶ ποιήσῃ ἡμᾶς ἀπὸ τοῦ κρατοῦντος πνεύματος πνευματικούς· καὶ οὕτως ἐπὶ τοῦ κρίνειν ποῖα τοῦ θεοῦ ἐστιν ἢ ποῖα οὐκ ἔστιν αὐτοῦ. ὁ γὰρ τῆς χάριτος ταύτης ἐστερημένος συνεῖναι οὐ δύναται· ὅθεν ἐπήγαγεν **Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.**

## § LXXVI.

xv 1–2 [**Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σῴζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.**]

[Ὠριγένους]

**Εὐαγγέλιον** καλεῖ **ὃ** εὐαγγελίζεται, τοῦτο γὰρ καὶ **παρέδωκεν**· **οὗτος** δὲ **ἕστηκεν** ἐν τῷ εὐαγγελίῳ ὁ τὴν ψυχὴν ἑαυτοῦ ἔχων ἐπιβεβηκυῖαν, ὡς ἐπὶ σκάφει, ἐπ' αὐτῷ **δι' οὗ καὶ σῴζεται. εἰκῇ** δὲ λέγει **πεπιστευκέναι** τὸν μὴ ΚΑΤΕΧΟΝΤΑ ΤΟΝ ΛΟΓΟΝ τοῦ εὐαγγελίου, ἀλλ' ἀλόγως καὶ συντυχικῶς καὶ οὐκ ἐξητασμένως ἀκούσαντα.

[Ὠριγένους]

Ἰουδαῖοι οὐχ ἑστήκασιν ἐν τῷ εὐαγγελίῳ, τὸν Ἰησοῦν μὴ παραδεξάμενοι· 283
οἱ ἀπὸ τῶν αἱρέσεων κακῶς ἑστήκασι, μὴ νοοῦντες τὸ εὐαγγέλιον ἀλλ' ἰδίως αὐτὸ ἐκδεχόμενοι· οἱ ἁμαρτάνοντες οὐχ ἑστήκασι, μὴ βιοῦντες κατὰ τὸ εὐαγγέλιον. τίνες οὖν ἑστήκασιν ἐν τῷ εὐαγγελίῳ ἢ οἱ παραλαβόντες αὐτὸ καὶ παραδεξάμενοι καὶ κατ' αὐτὸ βιοῦντες; ἐὰν δὲ νοηθῇ **Τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε,** καὶ νοηθῇ τὸ ἐπιφερόμενον εὐλόγως ⟨τού⟩τοις τὸ **Ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε,** εἰσόμεθα ὅτι ἀδύνατον εἶναι τὸν εἰκῇ πεπιστευκότα οὕτω πεπιστευκέναι ψευδεῖ· ἀλλὰ τὸ πεπιστευκέναι μέν, ἀληθεῖ δέ, ἔργον οὐκ ἔστιν· ⟨ἐν⟩ κρίσει ⟨δὲ⟩ πιστεύειν· ΟΙ ΠΡΟΣ ΚΑΙΡΟΝ ΠΙΣΤΕΥΟΝΤΕΣ ΚΑΙ ΕΝ ΚΑΙΡῼ ΠΕΙΡΑΣΜΟΥ ΑΦΙΣΤΑΜΕΝΟΙ, **εἰκῇ** πιστεύουσι· καίτοιγε οὐ ψευδῆ πεπιστεύκασιν ἀλλὰ τῷ ἀληθεῖ μέν, ἐπειδὴ δὲ οὐ βεβαίως πεπιστεύκασιν, διὰ τοῦτο ΕΝ ΚΑΙΡῼ ΠΕΙΡΑΣΜΟΥ ΑΦΙΣΤΑΝΤΑΙ. καλῶς γὰρ πιστεύων τις οὐ πεσεῖται.

LXXVI 5. Cf. Lc. viii 15 11–12. Cf. Mc. iv 20

LXXVI. The first (*Εὐαγγέλιον . . . ἀκούσαντα*) of the two extracts in this section is taken from A and is therefore hitherto unpublished. The second extract is found in both MSS.

LXXV 6. *ἀγνοείτω* A. Uide tamen quae adnotaui ad XLVII 14 et LXXII 8–9. LXXVI 13. *τούτοις* scripsi: *τοῖς* MS, A 14. *εἶναι* MS, A: leg. fortasse *ἐστι* 15. *τὸ* MS: *τῷ* A *πεπιστευκέναι* 2°: *πιστευκέναι* MS, corr. s. l. m. p. ut uid. 16. ⟨*ἐν*⟩ *κρίσει* ⟨*δὲ*⟩ scripsi: *ἀλλὰ κρίσει* A. Nairne 17. leg. fortasse *ψευδεῖ* cum A

## § LXXVII*.

xv 5 [Καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα.]

['Ωριγένους]

'Ωφθῆ⟨ναι⟩ τοῖς δώδεκα λέγει τὸν κύριον μετὰ τὴν ἀνάστασιν· εἰκὸς γὰρ ἦν ὅτι παρῆν καὶ ὁ Ματθίας ὃς ἀντὶ τοῦ Ἰούδα κατέστη ἀπόστολος.

## § LXXVIII*.

xv 9 ['Εγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ.]

['Ωριγένους]

Συνειδὼς ἑαυτῷ ὧν ἠλευθερώθη ἁμαρτιῶν φησὶν Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος.

## § LXXIX*.

xv 10 [Χάριτι δὲ θεοῦ εἰμὶ ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί.]

['Ωριγένους]

Εἰπὼν ὅτι ἡ χάρις αὐτοῦ οὐ κενὴ ἐγενήθη εἰς ἐμέ, ἐδίδαξεν ὅτι οἱ ἀναξίως ζῶντες τῆς χάριτος κενὴν αὐτὴν ἔλαχον. οὐχ ἡ χάρις δὲ κοπιᾷ, ἀλλ' οὕτως νοητέον· Οὐκ ἐγὼ τάδε πεποίηκα, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί.

## § LXXX*.

xv 11 [Εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.]

['Ωριγένους]

Πάντων τῶν ἀποστόλων πληρ⟨ο⟩φορηθέντων περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ χριστοῦ βεβαία ἡ ἀπόδειξις, διὸ τὰ αὐτὰ λέγομεν· καὶ γὰρ καὶ ὑμεῖς οὕτως ἐπιστεύσατε.

## § LXXXI*.

xv 12–13 [Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσίν τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται.]

['Ωριγένους]

Σαφής ἐστιν ἡ τοῦ Χριστοῦ ἀνάστασις μεθ' ἧς εἶχε σαρκὸς γεγονυῖα ἐκ τοῦ προκειμένου ῥητοῦ, οἱ δέ, οἱ ἑτερόδοξοι, ἀλληγοροῦν θέλουσιν τὴν τῶν ἀνθρώπων

LXXVII–LXXXIII. These seven unpublished extracts marked with an asterisk are taken from A.

LXXVII 2. ὠφθῆναι scripsi: ὤφθη A per incur. 3. Ma$^{\theta}$ A LXXIX 2. οὐκ ἐνῆ A per incur. LXXX 2. πληραφορηθέντων A male LXXXI 2. γεγονυῖα scripsi: γεγονυίας ut videtur A

ἀνάστασιν· ἀλληγορήτωσαν καὶ τὴν τοῦ Σωτῆρος κακῶς τῷ ἑαυτῶν ἀθετοῦντες τὸ ῥητόν. [[Μανιχαίους λέγει τοὺς λέγοντας ὅτι ὁ ἀπαλλασσόμενος ἁμαρτιῶν οὕτως ἀνέστη ἐκ νεκρῶν.]]

§ LXXXII*.

xv 14 [**Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα καὶ τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν.**]

[Ὠριγένους]

Ἐπειδὴ οὔτε **κ⟨ε⟩νὸν τὸ κήρυγμα** οὔτε **κ⟨ε⟩νὴ ἡ πίστις** δῆλον ὅτι Χριστὸς ἐγήγερται. ταῦτα δὲ ἐσημειωσάμεθα ὑποδεικνύντες ὅτι εἰ καὶ ᾔδει τοὺς διαλεκτικοὺς λόγους ὁ Παῦλος, ἀλλὰ φυσικῶς αὐτοῖς ἐχρήσατο· ἀπὸ γὰρ τῆς φύσεως καὶ συνηθείας ἡ διαλεκτικὴ τέχνη ἐσωματοποιήθη ὑπὸ τῶν φιλοσοφούντων.

§ LXXXIII*.

xv 15–16 [**Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. ⟨εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται⟩, οὐδὲ Χριστὸς ἐγήγερται.**]

[Ὠριγένους]

Εἰ **κατὰ τοῦ θεοῦ ψευδομαρτυρεῖ** ὁ λέγων ὅτι Χριστὸς ἀνέστη, οὐκοῦν καὶ πᾶς ὁ λέγων ὅτι **ἀνάστασις νεκρῶν**· εἰ δὲ ἀπαρχὴ τῶν κεκοιμημένων ἀνέστη Χριστός, δῆλον ὅτι καὶ **νεκροὶ ἐγείρονται.**

§ LXXXIV.

xv 20–23 [**Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται. Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι.**]

[Ὠριγένους]

Ἐπεὶ οἱ ἀπὸ τῶν αἱρέσεων λέγοντες τὴν ἐκκλησιαστικὴν πίστιν καὶ μυκτη- 294
ρίζοντες ὡς ἀνοήτων πίστιν ἀθετοῦσιν τῷ ἔργῳ, εἰ καὶ μὴ τῷ λόγῳ, μὴ γίνεσθαι
ἀνάστασιν λέγοντες ὡς ἡ ἐκκλησία πιστεύει· ὅρα πῶς αὐτοῖς ἀπαντητέον ἐκ 295
τῆς ἀποστολικῆς ταύτης λέξεως καὶ ἐξ ἄλλων δὲ μυρίων. Ἀνέστη Χριστὸς
ἐκ νεκρῶν, ἢ οὔ; ἀλλὰ περὶ τούτου πᾶσα αἵρεσις συγκατέθετο. εἰ ἀνέστη

4. ἀλλ' ἠγορήτωσαν A κακῶς τῷ scripsi: κακ̄ τ̄ A 6. οὕτως A : leg. fortasse οὗτος LXXXII 2. κενόν, κενή scripsi : καινόν, καινή A per incur. LXXXIII εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται suppleui in lemmate : *om.* A

LXXXI 5–6. These words seem like a gloss upon Origen incorporated in the text LXXXIII 3. 1 Cor. xv 20

LXXXIV. This section attached with other extracts in the MS to 1 Cor. xv 20–3 has the appearance of a homily rather than a commentary, unless indeed it be derived from the lost treatise *De Resurrectione*.

Χριστὸς ἐκ νεκρῶν, πρωτότοκος δὲ ἐκεῖνός ἐστιν ἐκ νεκρῶν, οὐδεὶς δὲ πρωτότοκός ἐστιν ἑτερογενῶς, ἀνάγκη ὁμογενῆ εἶναι τὴν ἀνάστασιν αὐτοῦ τῇ ἀναστάσει τῶν ἀνισταμένων. οἷον· πρωτότοκός ἐστι Ῥουβίμ, υἱὸς ὢν τοῦ Ἰακώβ, ὁμογενῶν τῶν ἀδελφῶν ὄντων· οὐ γὰρ ἄλλης φύσεως ὁ Ῥουβὶμ καὶ ἄλλης φύσεως ὁ Συμεὼν ἢ ὁ Λευὶ καὶ οἱ ἑξῆς. καὶ ἐπὶ τῶν ἄλλων πρωτοτόκων τὸ αὐτό. εἰ τοίνυν καὶ ὁ Ἰησοῦς πρωτότοκός ἐστιν ἐκ νεκρῶν, ἀνάγκη ὁμογενῆ εἶναι τὴν ἀνάστασιν τῶν ἀνισταμένων. εἰ δὲ ἐκεῖνος μὲν ἐφόρεσε σῶμα, καὶ ἡ ἀνάστασις αὐτοῦ μετὰ σώματος ἦν ὥστε αὐτὸν καὶ φαγεῖν ὡς γέγραπται ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ. ἄλλως δὲ ἀνίστανται, ὡς οἴονται οἱ ἀπὸ τῶν αἱρέσεων, οἱ ἀνιστάμενοι τῶν πιστευόντων εἰς τὸν χριστόν. οὐ δύνανται παραστῆσαι πῶς Ἰησοῦς πρωτότοκός ἐστιν ἐκ τῶν νεκρῶν. εἰ γὰρ σύμμορφοι γεγόναμεν τῷ θανάτῳ τοῦ χριστοῦ, καὶ τῆς ἀναστάσεως αὐτοῦ σύμμορφοι ἐσόμεθα· καὶ πῶς διδάσκει λέγων ὁ Παῦλος Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης τοῦ χριστοῦ.

Ἀναιδῶς τοίνυν τινὲς παραδέχονται μὲν ὅτι ἐγήγερται Χριστὸς ἐκ νεκρῶν, λέγουσι δὲ ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν. διὸ φησὶν ὁ ἀπόστολος Εἰ δὲ Χριστὸς κηρύσσεται ἐκ νεκρῶν ὅτι ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; κἂν μὴ τῷ στόματι λέγῃ τις, τῇ δὲ καρδίᾳ λέγει Ἀνάστασις νεκρῶν οὐκ ἔστιν, δυνάμει ἀθετεῖ καὶ τὴν Ἰησοῦ Χριστοῦ ἀνάστασιν. εἰ γὰρ τὸ καθολικὸν ψεῦδος, δῆλον ὅτι περιέχεται ἐν τῷ καθολικῷ καὶ ὁ εἷς ἀναστὰς ἐκ νεκρῶν. εἰ γὰρ οὐκ ἐγείρονται οἱ νεκροί, γέγονε δὲ καὶ ἐν νεκροῖς ὁ Ἰησοῦς, οὐκ ἐγήγερται οὐδὲ ὁ Ἰησοῦς· εἰ δὲ ἐκεῖνος ἐγήγερται, δι' ἐκείνου δηλοῦται ἡ ἀνάστασις τῶν νεκρῶν· εἰ μὴ τῷ ἀδυνάτῳ τοῦ πράγματος καθ' αὑτὸ ἀπιστῶμεν, ἐπιλανθανόμενοι τίς ὁ ἐπαγγειλάμενος. τί γὰρ ὡς ἐν ἀδυνάτοις, ἵν' οὕτως εἴπω, ἀδυνατώτερον τὸ ζωοποιηθῆναι τὸ σῶμα ἢ οὐρανὸν ἐξ οὐκ ὄντων γενέσθαι ἢ ἥλιον ἢ τὰ λοιπὰ τῶν κτισμάτων;

**296** Ἐλθὲ δὲ καὶ ἐπ' αὐτὴν τὴν τοῦ ἀνθρώπου ἀρχήν· ἀναπόλ⟨η⟩σον αὐτοῦ τὴν ἀρχήν. δείκνυταί σοι σπέρμα ἀνθρώπου· εἰ ἔλεγέν τις Τοῦτο τὸ σπέρμα ἄνθρωπος ἔσται, μορφωθήσεται, ὀστᾶ ἔσται, ἀπὸ τούτου σάρκες, νεῦρα, φλέβες· περιπατήσει· ἀπὸ τούτου τοῦ σπέρματος τοῦ βραχέος, τοῦ εὐτελοῦς, ἄνθρωπος ἐπὶ γῆς διεγηγερμένος χρήσεται ὀργάνοις· οὐκ ἂν ἐλέγομεν ἀνόητον εἶναι τὸν ταῦτα ἡμῖν κηρύσσοντα, εἰ μὴ πεῖραν εἰλήφαμεν τούτου; ἵν' οὖν τολμήσω καὶ παραστήσω σοι τὴν ἀνάστασιν, καὶ μᾶλλον αὐτὴν παραδέξῃ πιστεύσας τῇ τελειότητι τοῦ θεοῦ. ὅπερ ἐκεῖνο τὸ σπέρμα ἦν πρὸς τοῦτο τὸ σῶμα τὸ ἐνεστηκός, νῦν τὸ παρεστηκός, τὸ γενικόν, τὸ σπεῖρον, τὸ ὄργανον γενόμενον λόγων καὶ ἔργων τῶν κατὰ δικαιοσύνην, τοῦτο τὸ σῶμα πρὸς ἐκεῖνο γίνεται· Ὁ κόκκος τοῦ σίτου ἐὰν μὴ πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ καὶ διασαπῇ, ἐκ τῆς διασήψεως τοῦ

LXXXIV 7. Col. i 18 14. Cf. Io. xxi 9 ff. 17 f. Rom. vi 5 19 f. Phil. iii 21 21 ff. 1 Cor. xv 12 27 f. 1 Cor. xv 16 30. Cf. Hebr. x 23, xi 11 43 f. Io. xii 24

LXXXIV 24. λέγει MS : leg. fortasse λέγῃ 33. ἀναπόλεσον MS

κόκκου τοῦ σίτου στάχυς ἑκατοντ⟨άκι⟩ς γίνεται. ὅτι γὰρ τὸ σῶμά σου σπέρμα ἐστὶ τοῦ ἀναστησομένου, ἄκουε Παύλου λέγοντος· Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ὁρᾷς ὡς ἐκεῖ ἐπὶ τοῦ σπέρματος εὐτελές ⟨τι⟩ καὶ οὐδενὸς λόγου ἄξιον ἐσπάρη, καὶ ἐγήγερται ἄνθρωπος ὡραῖος καὶ καλός· τὸν αὐτὸν τρόπον τοῦτο τὸ νεκρὸν κόκκος ἐστὶ σίτου τῷ θεῷ ὡς τὸ προαναστησόμενον. ὥσπερ οὖν εὐπόρησεν ὁ θεὸς ἀπὸ τοῦ κόκκου τοῦ σίτου στάχυν ποιῆσαι—οὐκ ἔξωθεν τῶν ἀφορμῶν τῶν ἐν τῷ σπέρματι τῷ βραχεῖ· ἀπὸ γὰρ ἐκείνου ἤγειρεν τὸν στάχυν, καὶ ἀφ᾽ ἑκάστου σπέρματος ἐγείρει τὸ δυνάμει ἐνυπάρχον τῷ σπέρματι—οὕτως ἀπὸ σπέρματος μὲν ἀνθρώπου κατὰ τὴν ἀρχὴν γέγονεν οὗτος ὁ ἄνθρωπος. ἐὰν δὲ ἀποθάνῃ τὸ σῶμα αὐτοῦ, σπέρμα γίνεται τοῦ ἀναστησομένου ἐκ νεκρῶν ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ. τὸ ἄπιστον δὲ τῇ ἀναστάσει τῇ ἀπὸ τῶν νεκρῶν ἴσον ὑπέλαβεν εἶναι ὁ ἀπόστολος τ⟨ῷ⟩ μὴ πιστεύειν ὅτι ἐσόμεθα τὴν ἀρχὴν μετὰ τὴν ἔξοδον. διὸ τοῖς ⟨μὴ⟩ πιστεύουσιν ἀνάστασιν ἔσεσθαι νεκρῶν φησιν, ὡς μὴ ἄλλης κατ᾽ αὐτοὺς ζωῆς παρὰ τὴν ἐνεστῶσαν, τὸ Εἰ ἐν τῇ ζωῇ 297
ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι ἐσμὲν πάντων ἀνθρώπων. καὶ ἐν τοῖς ἑξῆς δὲ ὡς κατὰ τοὺς λέγοντας μὴ εἶναι ἀνάστασιν νεκρῶν, μηδὲ ζωῆς ὑπαρχούσης κατὰ τὸν βίον τοῦτον, φησὶ Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; καθ᾽ ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, καὶ τὰ ἑξῆς. δηλοῖ δὲ καὶ ἡ αἵρεσις τῶν Σαδδουκαίων ἀθετούντων τὴν ἀνάστασιν τῶν νεκρῶν, ὅτι ἀκολουθεῖ αὐτοῖς τὸ μηδὲ ζῆν ὑμᾶς μετὰ τὴν παροῦσαν ζωήν. διόπερ ὁ Σωτὴρ πρὸς αὐτοὺς ἀπὸ τοῦ νόμου μόνον παράδειγμα λαμβάνει περὶ τοῦ εἶναι ἀνάστασιν τὴν ἐκ νεκρῶν ῥητὸν λέγ⟨ω⟩ν Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε ὅτι ὁ θεὸς εἶπεν ἐπὶ τῆς βάτου λέγων Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; θεὸς οὐκ ἔστι νεκρῶν ἀλλὰ ζώντων.

**Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων.** Ἡ **ἀπαρχὴ** πολλῶν ἐστιν **ἀπαρχή**. ὡς δὲ ἐπὶ παραδείγματος τῶν ἐν τῷ νόμῳ εἴδομεν· ἀπαρχὴ ἀναφέρεται σίτου ὑπὸ τῶν σῖτον θερισάντων· καὶ φέρε εἰπεῖν οἴνο⟨υ⟩ ὑπὸ τῶν οἶνον τρυγησάντων· καὶ ἐλαίου ἀπὸ τῶν ἐλαίαν ἐκθλασάντων· οὕτω⟨ς⟩ εἴπερ ὁ κύριος ἡμῖν Ἰησοῦς Χριστὸς **ἀπαρχή** ἐστι **τῶν κεκοιμημένων**, ἀναγκαῖόν ἐστι πολλοὺς εἶναι ὧν ἐστιν οὗτος **ἀπαρχή**· καὶ ζητοῦμεν πότερον πάντων **ἀπαρχή** ἐστιν ἢ πολλῶν; **Χριστὸς** γάρ φησιν **ἀπαρχὴ τῶν κεκοιμημένων.** εἰ μὲν οὖν μὴ ε⟨ἴ⟩χομεν λέξιν ἀπὸ τῆς ἀρχῆς, κἂν ἐλέγ⟨ο⟩μεν, δύσφημόν τι νομίσαντες εἶναι κατὰ τὸν τόπον τὸ

46 ff. 1 Cor. xv 42–4 57. 1 Cor. xv 42 60 f. 1 Cor. xv 19 63. 1 Cor. xv 30–1 69 ff. Mc. xii 26–7 (Ex. iii 6) 73–4. Cf. Deut. xviii 4

45. *ἑκατοντόχους* MS 49. *τι* suppleui : *om.* MS 56. *σπέρ* (sic) MS per incur. : *σπέρμα* corr. s. l. 57. leg. fortasse *ἀπιστεῖν* 58. *τῷ* scripsi : *τὸ* MS 59. *τοῖς πιστεύουσιν* MS : *μὴ* suppleui. 63. *κατὰ* MS : leg. fortasse *μετὰ* 69. *λέγων* scripsi : *λέγον* MS 75. *οἴνου* scripsi : *οἶνον* MS 76. *οὕτω* MS 79. *ἔχομεν* MS : *εἴχομεν* A. Nairne 80 *κἂν ἐλέγωμεν* (sic) MS

λέγειν αὐτὸν ἀπαρχὴν πάντων εἶναι, ὅτι **ἀπαρχή** ἐστι **τῶν κεκοιμημένων** δικαίων μόνων οὐχὶ δὲ τῶν λοιπῶν. νυνὶ δὲ καὶ αὐτὸς ὁ ἀπόστολος λέγει **Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν**· πῶς ἐπί τινας αὐτὸς λέγει ὅ τι ἐπὶ πάντας; **ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως ἐν τῷ Χριστῷ**, οὐκ εἴρηκεν Οἱ δίκαιοι **ζωοποιηθήσονται** ⟨ἀλλὰ **πάντες ζωοποιηθήσονται**⟩. Εἶτα ἵνα μὴ ταραχθῇς καὶ εἴπῃς Ἆρα οὖν μάτην ἐμοὶ ὁ κάματος ὁ τοσοῦτος ἀνήντληται, εἴγε Χριστὸς ἀναστὰς ἐκ νεκρῶν πάντων ἐστὶν **ἀπαρχὴ τῶν κεκοιμημένων καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται**, λέγει **Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι.** **πάντες** μὲν οὖν **ἐν τῷ Ἀδὰμ** ἀπέθανον, καὶ **πάντες ἐν τῷ Χριστῷ ζωοποιηθήσονται**· ἀλλ᾽ **εἰ καὶ ἐν τῷ Ἀδὰμ πάντες** ἀπέθανον, οὐδὲν ἧττον Ἀβραὰμ δίκαιος ἦν, Ἰσαὰκ
298 πατριάρχης ἦν, Ἰακὼβ τοὺς δώδεκα πατριάρχας γεννήσας Ἰσραὴλ ἦν· οὕτω δὲ ἐλεύσει καὶ ἐπὶ τοὺς λοιποὺς δικαίους. κατατολμῶ εἰπεῖν ὅτι ὁ μὲν ἀπόστολος εἶπεν **ἀπαρχὴν εἶναι τῶν κεκοιμημένων** Χριστὸν Ἰησοῦν, ἐγὼ δὲ παρ᾽ ἐκεῖνον ποιήσαιμ᾽ ἂν Οὗτος μὲν ἀπαρχὴ ἐπὶ ζωὴν τῶν μελλόντων ζῆν, Ἀδὰμ δὲ ἀπαρχὴ τοῦ θανάτου τῶν ἀνθρώπων γεγένηται· **ἐν γὰρ τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν**, ἐκείνου τὴν ἀπαρχὴν τοῦ θανάτου εἰληφότος· ἀλλ᾽ ὁ μὲν Σωτὴρ θέλων τὴν ἀπαρχὴν τῆς ζωῆς ἀναλαβεῖν, ἀνέλαβεν πρῶτον τὸν θάνατον τῶν ἀποθανόντων, ἵνα καταργήσας τὸν θάνατον γένηται οὗτος **ἀπαρχὴ τῶν κεκοιμημένων** καὶ ζώντων.

## § LXXXV*.

xv 31 [**Ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, καθ᾽ ἡμέραν.**]

[Ὠριγένους]

Ζητητέον εἰ οὐ παρέβη τὸ εὐαγγελικὸν πρόσταγμα τὸ λέγον ΜΗ ὀΜόCΗC ΟλωC.

## § LXXXVI*.

xv 32 [**εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος;**]

[Ὠριγένους]

Ἔστι καὶ **θηρία** νοητά.

## § LXXXVII.

xv 35–38 [**Ἀλλ᾽ ἐρεῖ τις Πῶς ἐγείρονται οἱ νεκροί, ποίῳ δὲ σώματι ἔρχονται; ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ**

LXXXV 2. Matt. v 34

LXXXV, LXXXVI, LXXXVIII. These three hitherto unpublished sections are taken from A, which unfortunately contains no later citations from Origen on 1 Cor.

82. *μόνον* m. p.: *μόνων* corr. m. p. ipsa ut uid. 86. *ἀλλὰ* **πάντες ζωοποιηθήσονται** suppleui: *om.* MS per homoeotel. ut opinor 93. *δικαίους κατατολμῶ εἰπεῖν· ὅτι κ.τ.λ.* MS 96. *θανάτου . . . . τῶν*: rasura est 4 litterarum 99. *οὗτος* MS fortasse recte, nisi uelis *οὕτως*

**σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν· ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.]**

[Ὠριγένους]

Ἀρ' οὖν τὸ τοῦ ἀνθρώπου σπέρμα παρὰ πάντα ἐκεῖνα τὰ σώματα τῷ δημιουργῷ ἄχρηστόν ἐστιν, ὡς ἐλπίζειν μὲν ἀνάστασιν εἶναι νεκρῶν, εἰ δεῖ οὕτως εἰπεῖν, ἐλαϊκῶς καὶ ἀμπελικῶς καὶ σιτικῶς, καὶ ἀπὸ τῆς κιγχραμίδος τῆς συκῆς ἀνίσταται τηλικαύτη συκῆ, καὶ οὐ γελᾷς τοῦτο ὃ ἐπὶ τῇ πείρᾳ βλέπεις; καὶ εἴτις σοι λέγει ὅτι ἀπὸ τούτου τοῦ βραχέος ἐγείρεται συκῆ καρποφοροῦσα, τῇ πείρᾳ μαθὼν οὐ καταγελᾷς· ἐπεὶ δὲ οὐδέπω ἦλθεν ὁ καιρὸς τοῦ ἀνατεῖλαι ἀπὸ τοῦ ἀνθρωπείου σώματος κατὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν τὸ ἀναστησόμενον, οὐ θέλεις περιμένειν, ἵνα καὶ τοῦτο ἴδῃς; ἢ οὐκ οἶδας ὅτι καὶ ἐπὶ τῶν ἄλλων πάντων σπερμάτων οὐ πᾶς καιρὸς ἐπιτήδειός ἐστι πρὸς τὸ ἀνατεῖλαι τὰ σπέρματα; ἀλλ' ἐγείρεται κόκκος σίτου τῷδε τῷ καιρῷ τοῦ ἐνιαυτοῦ· ἐγείρεται τὸ γίγαρτον τῇδε τῇ ὥρᾳ τοῦ ἐνιαυτοῦ· ὁ πυρὴν τῆς ἐλαίας κατὰ τόνδε τὸν μῆνα, οὐ κατὰ πάντα χρόνον. θέλεις δὲ ἐπὶ τοῦ σώματος τοῦ ἀνθρώπου, ἵνα πιστεύσῃς, κατ' ἐνιαυτὸν ὡς τὸ γίγαρτον, ὡς τὴν ἐλαίαν, ἀνίστασθαι τοὺς νεκροὺς καὶ οὐχὶ ἕνα καιρὸν παράδοξον ὄψει ἵνα εἰδῇς τὴν ἀνάστασιν τῶν νεκρῶν; τίς ὁ εἷς καιρός; ἐπὶ συντελείᾳ τοῦ αἰῶνος. ἵνα μετὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν μηκέτι ᾖς ἐν τῷ αἰῶνι τῷ ἐνεστῶτι πονηρῷ. Ἰησοῦς γὰρ Χριστὸς πέπονθεν ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ· καὶ ἐξαγοραζόμενοι τὸν καιρὸν ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. καλῶς οὖν ὁ θεὸς καὶ τοῦτο μετὰ τῶν ἄλλων ᾠκονόμησεν.

## § LXXXVIII*.

xv 51 **[Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμησόμεθα πάντες δὲ ἀλλαγησόμεθα.]**

[Ὠριγένους]

Πάντας τοὺς ὁμοίους ἑαυτῷ ὁ Παῦλος ἐν τῇ πρὸς Θεσσαλονικεῖς ᾱ ζῶντας καλεῖ· ὁ γὰρ τῶν ζώντων θεὸς καὶ Παύλου καὶ τῶν ὁμοίων αὐτοῦ θεός ἐστιν.

## § LXXXIX.

xvi 10–12 **[Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς, τὸ γὰρ ἔργον κυρίου ἐργάζεται ὡς καὶ ἐγώ· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με, ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ· ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.]**

LXXXVII 18. Gal. i 4 19. Eph. v 16 LXXXVIII 2. 1 Thess. iv 15 3. Matt. xxii 32

LXXXVIII 3. αὐτοῦ A: leg. fortasse αὐτῷ

[Ὠριγένους]

39 Κατὰ τὰς ἀρχὰς τῆς ἐπιστολῆς ἔφασκεν Ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν· ἕκαστος γὰρ ὑμῶν, φησί, λέγει Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ—τούτου περὶ οὗ φησι τοιαύτης στάσεως καὶ ταραχῆς οὔσης ἐν τῇ Κορινθίων ἐκκλησίᾳ.
40 ὁ θαυμάσιος οὗτος Ἀπολλῶς ἐπίσκοπος ὢν τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον ὡς ἐπὶ κριτὴν κατέφυγεν τὸν ἀπόστολον. Παῦλος τὰ τῆς ἀποστολῆς ἐποίει· οὐκ ἦν αὐτῷ τὰ πράγματα ἐπιβάλλοντα διατρίβοντι ἐν τῇ Ἀσίᾳ τότε καταλιπεῖν τὰ ἐν τῇ Ἀσίᾳ καὶ γενέσθαι εἰς τὴν Κόρινθον· ἀλλ' ἀνθ' ἑαυτοῦ ἐξελέξατο Τιμόθεον καὶ ἔπεμψεν αὐτὸν διορθωσόμενον τὰ ἐν Κορίνθῳ καὶ ἀναγκαίως μετὰ τῆς ἐπιστολῆς πέμπων αὐτὸν παρακατατιθέναι τῇ ἐκκλησίᾳ. ὅτε γὰρ ἐπεδήμουν οἱ ἅγιοι ὠφελοῦντες τοὺς ἀκούοντας, οὐκ ἐν ἀσθενείᾳ παρεγίνοντο οὐδὲ ἐν φόβῳ οὐδὲ ἐν τρόμῳ· ὅτε δὲ παρεγίνοντο πρὸς τοὺς ἀσθενεστέρους, ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ ἐπεδήμουν· τοιοῦτοι ἦσαν Κορίνθιοι, ὥστε οὐ Παῦλον τὸν μέγαν ἐπιδημεῖν αὐτοῖς ἀλλὰ τὸν ἀσθενῆ, καθὸ ἔλεγεν Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. καὶ διὰ τοῦτο ἔλεγεν Κἀγὼ ἐν ἀσθενείᾳ ἐγενόμην πρὸς ὑμᾶς· διὰ τοῦτο καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγένετο, ὅπως τῶν ἀκουόντων περιγένηται. ἐπειδὴ οὖν τὸ ἐν φόβῳ καὶ ἐν τρόμῳ ἐπιδημεῖν τὸν μέλλοντα ὠφελεῖν περὶ τοὺς ἀκροατάς ἐστιν, παρακαλεῖ νῦν τοὺς Κορινθίους **ἵνα ἀφόβως** γένηται Τιμόθεος **πρὸς** αὐτούς· **τὸ γὰρ ἔργον κύριου ἐργάζεται ὡς καὶ ἐγώ**· ὅπερ ἐγὼ ⟨ἐ⟩πεποιήκειν ἂν ἐπιδημήσας ὑμῖν, τοῦτο ποιεῖ ὑμῖν ὁ Τιμόθεος. **μή τις οὖν αὐτὸν ἐξουθενήσῃ**· εἰ γὰρ τοῦτον ἐξουθενεῖτε, κἀμέ· **τὸ γὰρ ἔργον κύριου ἐργάζεται ὡς καὶ ἐγώ. προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με**· νῦν μὲν ἔρχεται πρὸς ὑμᾶς εἰρήνην ποιήσων. στάσιν γὰρ ὑμῶν εὑρίσκει ἐν τῇ ἐκκλησίᾳ· ἀλλ' ὁμονοήσαντες καὶ διορθωθέντες ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ ⟨καὶ⟩ εἰρήνην ἀναλαβόντες, **προπέμψατε αὐτὸν** ἐν τῇ ὑμετέρᾳ ὁμονοίᾳ καὶ **εἰρήνῃ, ἵνα ἔλθῃ πρὸς ἐμέ. ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν**· ποίων ἀδελφῶν; περὶ ὧν προεῖπεν ὅτι Οὓς ἐὰν δοκιμάσητε δι' ἐπιστολῆς, τούτους πέμψω. **ἐκδέχομαι** οὖν ἀκούων αὐτὸν ἐπανελευσόμενον, ἀπαγγέλλοντά μοι τὰ καθ' ὑμᾶς.

**Περὶ δὲ Ἀπολλῶ τοῦ ἀδελφοῦ παρεκάλεσα αὐτόν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα ἔλθῃ νῦν.** ἄνθρωπος ἦν, ὡς εἰκός, ἅγιος, εἰρήνης φίλος, καὶ βλέπων στάσιν καὶ ταραχὴν ἐν τῇ ὑπ' αὐτὸν ἐκκλησίᾳ, οὐκ ἐπεδικάζετο τοῦτό που ἀλλὰ παρεχώρησεν. εἶτα παρακαλεῖ αὐτὸν ὁ
341 ἀπόστολος μακροθυμήσαντα ἐπανελθεῖν εἰς τὴν παροικίαν αὐτοῦ. οὗτος δὲ οὐδὲ ὅλως ἑώρακεν τὴν Κόρινθον, οὐκ ἀπιθήσας τῷ ἀποστόλῳ· οὐ γὰρ ἂν οὕτως συνέστησεν αὐτοῦ τὸ δοκοῦν, οὐχ ὑποτεταγμένον· λέγει γὰρ **Πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ**· οἷον· οὐκ ἄνευ θελήματος θεοῦ πεποίηκεν τὸ μὴ

LXXXIX 2 ff. 1 Cor. i 11–12  11 ff. 1 Cor. ii 3  15. 1 Cor. ix 22  28. 1 Cor. xvi 3  XC 3. Prov. vi 4–5  5. Cf. Matt. xxvi 41  9. Eph. vi 11  11. Phil. iv 13

LXXXIX 20. πεποιήκειν MS  21. leg. fortasse ποιήσει  25–6. καὶ suppleui ante εἰρήνην: *om.* MS

ἐλθεῖν αὐτὸν πρὸς ὑμᾶς· ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ. πότε δὲ εὐκαιρεῖ; ἐὰν ὑμεῖς εἰρηνεύητε, ἐὰν Τιμόθεον μὴ ἐξουθενήσητε.

§ XC.

xvi 13–14 [**Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.**]

[Ὠριγένους]

Ἔστι γάρ τις ὕπνος ψυχῆς καὶ γρηγόρησις· διὸ καὶ ἀποτρέπων τοῦ καθεύδειν τὴν ψυχὴν διὰ Σολομῶντος ὁ λόγος φησὶ Μὴ δῷς ὕπνον τοῖς ὄμμασι, μηδὲ νυσταγμὸν σοῖς βλεφάροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. καὶ ὁ Σωτὴρ φησὶ Γρηγορεῖτε ἐν παντὶ καιρῷ καὶ προσεύχεσθε ἵνα δυνηθῆτε ἐκφυγεῖν τοὺς μέλλοντας γίνεσθαι πειρασμούς. **Στήκετε·** μὴ σαλεύεσθε ἀλλὰ βέβαιοι γίνεσθε. ὁ δίψυχος οὐχ ἕστηκεν ἐν τῇ πίστει ἢ ὁ ἀμφιβάλλων περὶ τῶν κατὰ τὴν πίστιν πραγμάτων. **Ἀνδρίζεσθε·** ὡς στρατιώταις λέγει· ἐνδύσασθε γάρ φησι τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. **Κραταιοῦσθε·** οἷον· Ἀναλάβετε τὴν ἰσχύν, ἵνα δυνηθῆτε κραταιωθέντες εἰπεῖν Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ. **Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω·** Εἰσαγομένων τὸ ἐν φόβῳ ποιεῖν, τελείων δὲ τὸ ἐν ἀγάπῃ.

38. εὐκαιρεῖ MS: leg. fortasse εὐκαιρήσει XC 3. leg. fortasse ⟨σ⟩οῖς cum LXX

CLAUDE JENKINS.